GREEK SERIES · VOLUME 62

The Civil Wars

Appian

ΕΜΦΥΛΙΩΝ

The Civil Wars

Books III–IV

---

with a word-for-word interlinear English translation

preserving the original word order



CANES NOBILES · MMXXVI

Copyright © 2026 Christopher Hench
All rights reserved

Published by Canes Nobiles
canesnobiles.com

The source text is used under a Creative Commons
Attribution-ShareAlike 4.0 International License
creativecommons.org/licenses/by-sa/4.0



Volume 62 of the Canes Nobiles Greek interlinear texts

The Greek text follows Viereck's Teubner Appian

Set from the Perseus Digital Library, with corrections

Translated and composed with AI, edited by Christopher Hench
Artwork by Esther Steves

Words Viereck secludes are not printed; words
he supplies are printed without their brackets.

CONTENTS

BOOK III

I · Antony After the Ides 7
II · Octavian Comes to Rome 18
III · Octavian Courts the People 36
IV · The Law on Gaul 46
V · Antony Answers His Officers 53
VI · The Plot and the Veterans 65
VII · The Legions Divide 72
VIII · Cicero and Piso 81
IX · Forum Gallorum 103
X · Mutina 113
XI · The East and the Senate 121
XII · Antony and Lepidus Join 130

BOOK III

(continued)

XIII · Octavian Takes the City 139
XIV · The Fall of Decimus 147

BOOK IV

I · The Triumvirate 155
II · The Proscription Edict 160
III · The Terror 170
IV · The Killings 177
V · Hortensia 196
VI · The Saved 203
VII · War in Africa 226
VIII · Cassius and Dolabella 232
IX · Rhodes 242
X · Xanthus and Patara 256
XI · Pompey and the March 266
XII · Cassius' Speech 275
XIII · Philippi 291
XIV · The First Battle 299
XV · The Death of Cassius 308
XVI · The Second Battle 314
XVII · The Death of Brutus 332

BOOK III

I · ANTONY AFTER THE IDES

Appian sets out the book's subject: how the murderers of Caesar paid the penalty. The senate blames Antony for the funeral speech, but he wins it back by killing without trial Amatius, the false Marius. He proposes Sextus Pompey's recall and enlists a guard of up to six thousand centurions. Brutus and Cassius, distrusting the people, leave Rome on a commission to buy grain. Dolabella is made governor of Syria with the army raised for the Parthian war; Antony takes Macedonia, its army handed to Dolabella, and Brutus and Cassius are given Cyrene and Crete.

Οὕτω μὲν δὴ Γάιος Καῖσαρ πλείστου Ῥωμαίοις ἄξιος 1
so indeed indeed Gaius Caesar most to-Romans worthy
ἐς τὴν ἡγεμονίαν γενόμενος ὑπὸ τῶν ἐχθρῶν ἀνῄρητο
for the empire having-become by the enemies had-been-killed
καὶ ὑπὸ τοῦ δήμου τέθαπτο· ἁπάντων δὲ αὐτοῦ τῶν
and by the people had-been-buried of-all and his the
σφαγέων δίκην δόντων, ὅπως οἱ περιφανέστατοι μάλιστα
murderers penalty having-paid how the most-conspicuous most
ἔδοσαν, ἥδε ἡ βίβλος καὶ ἡ μετὰ τήνδε ἐπιδείξουσιν,
paid this the book and the(-one) after this will-show
ἐπιλαμβάνουσαι καὶ ὅσα ἄλλα Ῥωμαίοις ἐμφύλια ἐς
taking-in-besides also whatever other to-Romans civil(-strifes) with
ἀλλήλους ἐγίγνετο ὁμοῦ.
one-another happened together

Ἀντώνιον μὲν ἡ βουλὴ δι' αἰτίας εἶχεν ἐπὶ τοῖς 2
Antony indeed the senate in blame held for the
ἐπιταφίοις τοῦ Καίσαρος, ὑφ' ὧν δὴ μάλιστα ὁ δῆμος
funeral-speech — of-Caesar by which indeed most the people
ἐρεθισθεὶς ὑπερεῖδε τῆς ἄρτι ἐπεψηφισμένης ἀμνηστίας
having-been-provoked disregarded the lately voted amnesty

καὶ ἐπὶ τὰς οἰκίας τῶν σφαγέων σὺν πυρὶ ἔδραμον· ὁ δὲ
and against the houses of-the murderers with fire ran he and
αὐτὴν χαλεπαίνουσαν ἑνὶ τοιῷδε πολιτεύματι ἐς εὔνοιαν
it being-angry by-one such measure to goodwill
ἑαυτοῦ μετέβαλεν. Ἀμάτιος ἦν ὁ Ψευδομάριος· Μαρίου
toward-himself changed Amatius was — Pseudo-Marius of-Marius
γὰρ ὑπεκρίνετο υἱωνὸς εἶναι καὶ διὰ Μάριον ὑπερήρεσκε
for he-pretended grandson to-be and through Marius greatly-pleased
τῷ δήμῳ. γιγνόμενος οὖν κατὰ τήνδε τὴν ὑπόκρισιν
the people being then by this the pretense
συγγενὴς τῷ Καίσαρι, ὑπερήλγει μάλιστα αὐτοῦ τεθνεῶτος
kinsman — to-Caesar he-grieved-greatly most him having-died
καὶ βωμὸν ἐπῳκοδόμει τῇ πυρᾷ καὶ χεῖρα θρασυτέρων
and an-altar built-up-on the pyre and a-band of-bolder
ἀνδρῶν εἶχε καὶ φοβερὸς ἦν ἀεὶ τοῖς σφαγεῦσιν· ὧν οἱ
men he-had and fearful was always to-the murderers of-whom the
μὲν ἄλλοι διεπεφεύγεσαν ἐκ τῆς πόλεως καὶ ὅσοι παρ᾽
indeed others had-escaped from the city and as-many-as from
αὐτοῦ Καίσαρος εἰλήφεσαν ἡγεμονίας ἐθνῶν, ἀπεληλύθεσαν
himself Caesar had-received commands of-provinces had-gone-away
ἐπὶ τὰς ἡγεμονίας, Βροῦτος μὲν ὁ Δέκμος ἐς τὴν ὅμορον
to the commands Brutus indeed — Decimus to the bordering-on
τῆς Ἰταλίας Κελτικήν, Τρεβώνιος δὲ ἐς τὴν Ἀσίαν τὴν
— of-Italy Celtica Trebonius and to — Asia the(-part)
περὶ Ἰωνίαν, Τίλλιος δὲ Κίμβερ ἐς Βιθυνίαν· Κάσσιος δὲ
about Ionia Tillius and Cimber to Bithynia Cassius and
καὶ Βροῦτος ὁ Μᾶρκος, ὧν δὴ καὶ μάλιστα τῇ
and Brutus — Marcus about-whom indeed also most to-the
βουλῇ διέφερεν, ᾑρηντο μὲν καὶ οἵδε ὑπὸ τοῦ Καίσαρος
senate it-mattered had-been-chosen indeed also these by — Caesar
ἐς τὸ μέλλον ἔτος ἡγεμονεύειν, Συρίας μὲν ὁ Κάσσιος καὶ
for the coming year to-govern Syria indeed — Cassius and

Μακεδονίας ὁ Βροῦτος, ἔτι δὲ ὄντες ἀστικοὶ στρατηγοὶ
Macedonia — Brutus still and being urban praetors
*** ὑπ᾽ ἀνάγκης καὶ διατάγμασιν οἷα στρατηγοὶ τοὺς
(lacuna) under compulsion and by-edicts as praetors the
κληρούχους ἐθεράπευον, ὅσοις τε ἄλλοις ἐπενόουν,
colonists courted by-whatever and other(-means) they-devised
καὶ τὰ κληρουχήματα συγχωροῦντες αὐτοῖς πιπράσκειν,
and the allotments allowing them to-sell
τοῦ νόμου κωλύοντος ἐντὸς εἴκοσιν ἐτῶν ἀποδίδοσθαι.
the law forbidding(-it) within twenty years to-be-sold
τούτοις δὲ αὐτοῖς ὁ Ἀμάτιος, ὅτε συντύχοι, καὶ 3
for-these and very — Amatius whenever he-should-meet(-them) also
ἐνεδρεύσειν ἐλέγετο. τῷδε οὖν τῷ λόγῳ τῆς ἐνέδρας ὁ
to-lie-in-wait was-said by-this then the report of-the ambush —
Ἀντώνιος ἐπιβαίνων οἷα ὕπατος συλλαμβάνει καὶ κτείνει
Antony taking-advantage as consul arrests and kills
τὸν Ἀμάτιον χωρὶς δίκης, μάλα θρασέως· καὶ ἡ βουλὴ
— Amatius without trial very boldly and the senate
τὸ μὲν ἔργον ἐθαύμαζεν ὡς μέγα καὶ παράνομον, τὴν
the indeed deed wondered-at as great and lawless the
δὲ χρείαν αὐτοῦ προσεποιοῦντο ἥδιστα· οὐ γὰρ αὐτοῖς
but usefulness of-it embraced most-gladly not for to-them
ἐδόκει ποτὲ χωρὶς τοιᾶσδε τόλμης ἀσφαλῆ τὰ κατὰ
it-seemed ever without such daring safe the(-affairs) concerning
Βροῦτον καὶ Κάσσιον ἔσεσθαι. οἱ δὲ τοῦ Ἀματίου
Brutus and Cassius to-be-going-to-be the and — of-Amatius
στασιῶται καὶ ὁ ἄλλος δῆμος ἐπ᾽ ἐκείνοις πόθῳ τε τοῦ
partisans and the rest-of people for those(-deeds) from-longing both —
Ἀματίου καὶ ἀγανακτήσει τοῦ γεγονότος, ὅτι μάλιστα
for-Amatius and indignation at-the deed because especially
αὐτὸ ὁ Ἀντώνιος ἐπεπράχει ὑπὸ τοῦ δήμου τιμώμενος, οὐκ
it — Antony had-done by the people being-honored not

ἠξίουν σφῶν καταφρονεῖν· τὴν ἀγορὰν οὖν καταλαβόντες
they-thought-fit them to-be-despised the forum then having-seized
ἐβόων καὶ τὸν Ἀντώνιον ἐβλασφήμουν καὶ τὰς ἀρχὰς
they-shouted and — Antony they-reviled and the magistrates
ἐκέλευον ἀντὶ Ἀματίου τὸν βωμὸν ἐκθεοῦν καὶ θύειν
they-bade instead-of Amatius the altar to-consecrate and to-sacrifice
ἐπ᾽ αὐτοῦ Καίσαρι πρώτους. ἐξελαυνόμενοι δ᾽ ἐκ τῆς
upon it to-Caesar first being-driven-out but from the
ἀγορᾶς ὑπὸ στρατιωτῶν ἐπιπεμφθέντων ὑπὸ Ἀντωνίου
forum by soldiers sent-against(-them) by Antony
μᾶλλόν τε ἠγανάκτουν καὶ ἐκεκράγεσαν καὶ ἕδρας ἔνιοι
more both they-were-indignant and shouted and the-bases some
τῶν Καίσαρος ἀνδριάντων ἐπεδείκνυον ἀνῃρημένων. ὡς δέ
of-the of-Caesar statues pointed-out removed when and
τις αὐτοῖς ἔφη καὶ τὸ ἐργαστήριον, ἔνθα οἱ ἀνδριάντες
someone to-them said also the workshop where the statues
ἀνεσκευάζοντο, δείξειν, εὐθὺς εἵποντο καὶ ἰδόντες
were-being-remade to-be-going-to-show at-once they-followed and having-seen(-it)
ἐνεπίμπρασαν, ἕως ἑτέρων ἐπιπεμφθέντων ἐξ Ἀντωνίου
set-fire(-to-it) until others having-been-sent from Antony
ἀμυνόμενοί τε ἀνῃρέθησαν ἔνιοι καὶ συλληφθέντες ἕτεροι
defending-themselves both were-killed some and having-been-arrested others
ἐκρεμάσθησαν, ὅσοι θεράποντες ἦσαν, οἱ δὲ ἐλεύθεροι
were-hanged as-many-as slaves were the and free
κατὰ τοῦ κρημνοῦ κατερρίφησαν.
down the cliff were-thrown

4 καὶ ὁ μὲν τάραχος ἐπέπαυτο, μῖσος δὲ ἄρρητον ἐξ ἀρρήτου
and the indeed disturbance had-ceased hatred but unspeakable from unspeakable
εὐνοίας τοῦ δήμου πρὸς τὸν Ἀντώνιον ἐγήγερτο, ἡ βουλὴ
goodwill of-the people toward — Antony had-been-roused the senate
δ᾽ ἔχαιρον ὡς οὐκ ἂν ἑτέρως ἐν ἀδεεῖ περὶ τῶν ἀμφὶ
and rejoiced as not — otherwise in fearlessness about the(-men) around

τὸν Βροῦτον γενόμενοι. ὡς δὲ καὶ Σέξστον Πομπήιον
— Brutus would-have-come-to-be when and also Sextus Pompey
ὁ Ἀντώνιος, τὸν Πομπηίου Μάγνου περιποθήτου πᾶσιν
— Antony the(-son) of-Pompey Magnus longed-for by-all
ἔτι ὄντος, εἰσηγήσατο καλεῖν ἐξ Ἰβηρίας, πολεμούμενον
still being proposed to-recall from Iberia being-warred-on
ἔτι πρὸς τῶν Καίσαρος στρατηγῶν, ἀντί τε τῆς
still by the of-Caesar generals instead-of and the
πατρῴας οὐσίας δεδημευμένης ἐκ τῶν κοινῶν αὐτῷ
paternal property confiscated from the public(-funds) to-him
δοθῆναι μυριάδας Ἀττικῶν δραχμῶν πεντακισχιλίας, εἶναι
to-be-given myriads of-Attic drachmas five-thousand to-be
δὲ καὶ στρατηγὸν ἤδη τῆς θαλάσσης, καθὼς ἦν καὶ ὁ
and also admiral now of-the sea as was also the
πατὴρ αὐτοῦ, καὶ ταῖς Ῥωμαίων ναυσὶν αὐτίκα ταῖς
father his and with-the of-Romans ships at-once the
πανταχοῦ χρῆσθαι εἰς τὰ ἐπείγοντα, θαυμάζουσα ἕκαστα
everywhere to-use for the urgent(-needs) wondering-at each-thing
ἡ βουλὴ μετὰ προθυμίας ἐξεδέχετο καὶ τὸν Ἀντώνιον ἐπὶ
the senate with eagerness accepted(-it) and — Antony for
ὅλην εὐφήμουν ἡμέραν· οὐ γάρ τις αὐτοῖς ἐδόκει Μάγνου
whole they-praised day not for anyone to-them seemed than-Magnus
γενέσθαι δημοκρατικώτερος, ὅθεν οὐδὲ περιποθητότερος
to-have-been more-democratic whence nor more-longed-for
ἦν. ὅ τε Κάσσιος καὶ ὁ Βροῦτος, ἐκ τῆς στάσεως
was — both Cassius and — Brutus from the faction
ὄντε τῆς Μάγνου καὶ πᾶσι τότε τιμιωτάτω, τὴν
being the(-faction) of-Magnus and to-all then most-honored the
σωτηρίαν ἐδόκουν ἕξειν ἀσφαλῆ καὶ τὴν γνώμην
safety seemed to-be-going-to-have secure and the purpose
ὧν ἐπεπράχεσαν ἐγκρατῆ, καὶ τὴν δημοκρατίαν ἐς
of-what they-had-done achieved and the democracy to

τέλος ἐπάξεσθαι, τῆς μοίρας σφῶν ἀνισχούσης. ἃ
completion to-be-going-to-bring the fortune theirs rising which-things
καὶ Κικέρων συνεχῶς ἐπῄνει τὸν Ἀντώνιον· καὶ ἡ βουλὴ
also Cicero continually praised — Antony and the senate
συγγινώσκουσα αὐτῷ διὰ σφᾶς ἐπιβουλεύοντα τὸν δῆμον
acknowledging to-him because-of themselves plotting-against(-him) the people
ἔδωκε φρουρὰν περιστήσασθαι περὶ τὸ σῶμα, ἐκ τῶν
gave a-guard to-set-around about the body from the(-men)
ἐστρατευμένων καὶ ἐπιδημούντων ἑαυτῷ καταλέγοντα.
having-served and staying-in-town for-himself enrolling
5 ὁ δέ, εἴτε εἰς τοῦτο αὐτὸ πάντα πεπραχὼς εἴτε τὴν
he and whether for this itself everything having-done or the
συντυχίαν ὡς εὔχρηστον ἀσπασάμενος, τὴν φρουρὰν
occurrence as useful having-welcomed the guard
κατέλεγεν, αἰεὶ προστιθεὶς μέχρι ἐς ἑξακισχιλίους, οὐκ ἐκ
enrolled always adding until to six-thousand not from
τῶν γινομένων ὁπλιτῶν, οὓς εὐμαρῶς ἂν ἐν ταῖς χρείαις
the existing hoplites whom easily — in the needs
ᾤετο ἕξειν καὶ ἑτέρωθεν, ἀλλὰ πάντας λοχαγοὺς ὡς
he-thought would-have also from-elsewhere but all centurions as
ἡγεμονικούς τε καὶ ἐμπειροπολέμους καί οἱ γνωρίμους ἐκ
fit-to-lead both and experienced-in-war and to-him known from
τῆς στρατείας τῆς ὑπὸ Καίσαρι· ταξιάρχους δ' αὐτοῖς ἐς τὸν
the campaign the under Caesar officers and to-them for the
πρέποντα κόσμον ἐξ αὐτῶν ἐκείνων ἐπιστήσας ἦγεν
fitting order from very those having-set-over he-held(-them)
ἐν τιμῇ καὶ κοινωνοὺς ἐποιεῖτο τῶν φανερῶν βουλευμάτων.
in honor and partners made of-the open counsels
ἡ δὲ βουλὴ τό τε πλῆθος αὐτῶν καὶ τὴν ἐπίλεξιν ἐν
the and senate the both number of-them and the selection in
ὑπονοίᾳ τιθέμενοι συνεβούλευον τὴν φρουρὰν ὡς ἐπίφθονον
suspicion holding advised the guard as invidious

ἐς τὸ ἀρκοῦν ἐπαναγαγεῖν. ὁ δὲ ὑπισχνεῖτο ποιήσειν, ὅταν
to the sufficient to-reduce he and promised to-do(-it) when
σβέσῃ τοῦ δήμου τὸ ταραχῶδες. ἐψηφισμένον δ' εἶναι
he-should-quench of-the people the turbulence it-having-been-voted and to-be
κύρια, ὅσα Καίσαρι πέπρακτό τε καὶ γενέσθαι βεβούλευτο,
valid whatever by-Caesar had-been-done both and to-be-done had-been-planned
τὰ ὑπομνήματα τῶν βεβουλευμένων ὁ Ἀντώνιος ἔχων καὶ
the memoranda of-the plans — Antony having and
τὸν γραμματέα τοῦ Καίσαρος Φαβέριον ἐς πάντα οἱ
the secretary — of-Caesar Faberius in all to-him
πειθόμενον, διότι καὶ ὁ Καῖσαρ τὰ τοιάδε αἰτήματα ἐς
obedient because also — Caesar the such requests to
τὸν Ἀντώνιον ἐξιὼν ἀνετίθετο, πολλὰ ἐς πολλῶν χάριν
— Antony going-out had-referred many(-things) for of-many favor
προσετίθει καὶ ἐδωρεῖτο πόλεσι καὶ δυνάσταις καὶ τοῖσδε τοῖς
added and gave to-cities and dynasts and these the
ἑαυτοῦ φρουροῖς· καὶ ἐπεγράφετο μὲν πᾶσι τὰ Καίσαρος
his-own guards and inscribed indeed on-all the of-Caesar
ὑπομνήματα, τὴν δὲ χάριν οἱ λαβόντες ᾔδεσαν
memoranda the but gratitude the(-ones) having-received knew
Ἀντωνίῳ. τῷ δὲ αὐτῷ τρόπῳ καὶ ἐς τὸ βουλευτήριον
to-Antony in-the and same way also into the senate
πολλοὺς κατέλεγε καὶ ἄλλα τῇ βουλῇ δι' ἀρεσκείας
many enrolled and other(-things) for-the senate with complaisance
ἔπρασσεν, ἵνα μὴ φθονοῖεν ἔτι τῆς φρουρᾶς.
he-did so-that not they-might-begrudge any-longer the guard
καὶ Ἀντώνιος μὲν ἀμφὶ ταῦτα ἦν, ὁ δὲ Βροῦτος καὶ ὁ 6
and Antony indeed about these-things was — and Brutus and —
Κάσσιος, οὔτε τινὸς παρὰ τοῦ δήμου σφίσιν ἢ παρὰ τῶν
Cassius neither anything from the people to-them or from the(-men)
ἐξεστρατευμένων εἰρηναίου φανέντος, οὔτε τὴν ἐνέδραν
having-served peaceable having-appeared nor the ambush

Ἀματίου καὶ παρ᾽ ἑτέρου ἂν αὐτοῖς ἀδύνατον ἡγούμενοι
of-Amatius also from another — for-themselves impossible thinking
γενέσθαι, οὔτε τὸ ποικίλον Ἀντωνίου φέροντες ἀφόβως, ἤδη
would-happen nor the inconstancy of-Antony bearing fearlessly now
καὶ στρατιὰν ἔχοντος, οὔτε τὴν δημοκρατίαν βεβαιουμένην
also an-army having nor the democracy confirmed
ἔργοις ὁρῶντες, ἀλλὰ καὶ ἐς τοῦτο ὑφορώμενοι τὸν
by-deeds seeing but even to this suspecting —
Ἀντώνιον, Δέκμῳ μάλιστα ἐπεποίθεσαν, ἔχοντι ἐν πλευραῖς
Antony in-Decimus most trusted having in (his)-flanks
τρία τέλη στρατοῦ, καὶ πρὸς Τρεβώνιον ἐς τὴν Ἀσίαν
three legions of-army and to Trebonius in — Asia
καὶ πρὸς Τίλλιον ἐς Βιθυνίαν κρύφα ἔπεμπον, χρήματα
and to Tillius in Bithynia secretly sent money
ἀγείρειν ἀφανῶς καὶ στρατὸν περιβλέπεσθαι. αὐτοί τε
to-collect invisibly and army to-look-around-for themselves both
ἠπείγοντο τῶν δεδομένων σφίσιν ὑπὸ τοῦ Καίσαρος
hastened the given to-them by — Caesar
ἐθνῶν λαβέσθαι. τοῦ χρόνου δὲ οὔπω συγχωροῦντος
provinces to-take-over the time but not-yet permitting
αὐτοῖς, ἀπρεπὲς ἡγούμενοι, τὴν ἐν ἄστει στρατηγίαν
them unseemly thinking the in (the)-city praetorship
προλιπόντες ἀτελῆ, δόξαν ὕποπτον φιλαρχίας ἐθνῶν
having-left unfinished a-reputation suspected of-love-of-rule of-provinces
ἐνέγκασθαι, ᾑροῦντο ὅμως ὑπὸ ἀνάγκης τὸ ἐν μέσῳ
to-incur they-chose nevertheless from necessity the in middle
διάστημα διατρῖψαί ποι μᾶλλον ἰδιωτεύοντες ἢ ἐν
interval to-spend somewhere rather being-private than in
ἄστει στρατηγεῖν, οὔτε ἀφόβως ἔχοντες οὔτε τὰ εἰκότα
(the)-city to-be-praetors neither fearlessly being nor the fitting(-things)
ἐφ᾽ οἷς ὑπὲρ τῆς πατρίδος ἐπεπράχεσαν τιμώμενοι. οὕτω
for what for the fatherland they-had-done being-honored so

δ᾽ αὐτοῖς ἔχουσιν ἡ βουλὴ συνειδυῖα τὴν γνώμην ἔδωκε
and them being the senate knowing the purpose gave
σίτου τῇ πόλει φροντίσαι, ἐξ ὅσης δύναιντο γῆς, μέχρις
of-grain for-the city to-take-care from as-much as-they-could land until
αὐτοὺς ὁ χρόνος τῶν ἐθνῶν τῆς στρατηγίας καταλάβοι.
them the time of-the provinces of-the governorship should-overtake
καὶ ἡ μὲν οὕτως ἔπραξεν, ἵνα μή ποτε Βροῦτος ἢ 7
and it indeed so acted so-that not ever Brutus or
Κάσσιος φεύγειν δοκοῖεν· τοσήδε αὐτῶν φροντὶς ἦν ἅμα
Cassius to-flee might-seem such-great for-them concern was at-once
καὶ αἰδώς, ἐπεὶ καὶ τοῖς ἄλλοις σφαγεῦσι διὰ τούσδε
and respect since also the other murderers because-of these
μάλιστα συνελάμβανον· ἐξελθόντων δὲ τῆς πόλεως
most they-helped having-gone-out and from-the city
τῶν ἀμφὶ τὸν Βροῦτον, ἐπὶ δυναστείας ὢν ὁ Ἀντώνιος
the(-men) around — Brutus in dominion being — Antony
ἤδη μοναρχικῆς ἀρχὴν ἔθνους καὶ στρατιᾶς αὑτῷ
already monarchical command of-a-province and of-an-army for-himself
περιέβλεπε· καὶ Συρίας μὲν ἐπεθύμει μάλιστα, οὐκ
looked-around-for and Syria indeed he-desired most not
ἠγνόει δὲ ὢν δι᾽ ὑπονοίας καὶ μᾶλλον ἐσόμενος, εἴ
he-was-unaware and being in suspicion and more going-to-be if
τι αἰτοίη· καὶ γὰρ αὐτῷ κρύφα Δολοβέλλαν τὸν
anything he-should-ask and for against-him secretly Dolabella the
ἕτερον ὕπατον ἐπήλειφεν εἰς ἐναντίωσιν ἡ βουλή, διάφορον
other consul had-primed for opposition the senate at-variance
αἰεὶ τῷ Ἀντωνίῳ γενόμενον. αὐτὸν οὖν τὸν Δολοβέλλαν
always — with-Antony having-been himself then — Dolabella
ὁ Ἀντώνιος, νέον τε καὶ φιλότιμον εἰδώς, ἔπεισεν
— Antony young both and ambitious knowing persuaded
αἰτεῖν Συρίαν ἀντὶ Κασσίου καὶ τὸν ἐς Παρθυαίους
to-ask-for Syria instead-of Cassius and the for Parthians

κατειλεγμένον στρατὸν ἐπὶ τοὺς Παρθυαίους, αἰτεῖν δὲ
enrolled army against the Parthians to-ask-for but
οὐ παρὰ τῆς βουλῆς (οὐ γὰρ ἐξῆν), ἀλλὰ παρὰ τοῦ
not from the senate not for it-was-allowed but from the
δήμου νόμῳ. καὶ ὁ μὲν ἡσθεὶς αὐτίκα προυτίθει
people by-law and he indeed having-been-pleased at-once proposed
τὸν νόμον, καὶ τῆς βουλῆς αἰτιωμένης αὐτὸν παραλύειν
the law and the senate accusing him to-undo
τὰ δόξαντα τῷ Καίσαρι τὸν μὲν ἐπὶ Παρθυαίους
the(-things) having-seemed-good — to-Caesar the indeed against Parthians
πόλεμον οὐδενὶ ἔφη ὑπὸ Καίσαρος ἐπιτετράφθαι, Κάσσιον
war to-no-one he-said by Caesar to-have-been-entrusted Cassius
δὲ τὸν Συρίας ἀξιωθέντα αὐτόν τι τῶν Καίσαρος
and the(-one) of-Syria thought-worthy himself something of-the(-acts) of-Caesar
πρότερον ἀλλάξαι, δόντα πωλεῖν τὰ κληρουχήματα
first to-have-changed having-given(-leave) to-sell the allotments
τοῖς λαβοῦσι πρὸ τῶν νενομισμένων εἴκοσιν
to-the(-men) having-received(-them) before the customary twenty
ἐτῶν· καὶ αὐτὸς δὲ αἰδεῖσθαι Συρίας οὐκ ἀξιούμενος,
years and himself and to-be-ashamed of-Syria not thought-worthy
Δολοβέλλας ὤν, πρὸ Κασσίου. οἱ μὲν δὴ τῶν δημάρχων
Dolabella being before Cassius they indeed indeed of-the tribunes
τινὰ Ἀσπρήναν ἔπεισαν ἐν τῇ χειροτονίᾳ ψεύσασθαι περὶ
one Asprenas persuaded at the election to-lie about
διοσημείας, ἐλπίσαντές τι καὶ Ἀντώνιον συμπράξειν,
portents having-hoped something also Antony to-cooperate
ὕπατόν τε ὄντα καὶ τῶν σημείων ἱερέα καὶ διάφορον ἔτι
consul both being and of-the signs priest and at-variance still
νομιζόμενον εἶναι τῷ Δολοβέλλᾳ· ὁ δ' Ἀντώνιος, ἐπεὶ τῆς
thought to-be — with-Dolabella — but Antony when the
χειροτονίας οὔσης ὁ Ἀσπρήνας ἔφη διοσημείαν ἀπαίσιον
election being — Asprenas said a-portent unfavorable

γεγονέναι, ἔθους ὄντος ἑτέρους ἐπὶ τοῦτο πέμπεσθαι, πάνυ
to-have-happened custom being others for this to-be-sent very
χαλεψάμενος τῷ Ἀσπρήνᾳ τοῦ ψεύσματος τὰς φυλὰς
being-angry — with-Asprenas for-the lie the tribes
ἐκέλευε χειροτονεῖν περὶ τοῦ Δολοβέλλα.
bade to-vote about — Dolabella
καὶ γίνεται μὲν οὕτω Συρίας ἡγεμὼν Δολοβέλλας καὶ 8
and becomes indeed so of-Syria governor Dolabella and
στρατηγὸς τοῦ πολέμου τοῦ πρὸς Παρθυαίους καὶ στρατιᾶς
general of-the war the against Parthians and of-the-army
τῆς ἐς αὐτὸν ὑπὸ Καίσαρος κατειλεγμένης, ὅση τε
the for it by Caesar enrolled as-much-as both
περὶ Μακεδονίαν προεληλύθει, καὶ ὁ Ἀντώνιος τότε
about Macedonia had-gone-ahead and — Antony then
πρῶτον ἔγνωστο συμπράσσων τῷ Δολοβέλλᾳ. γεγενημένων
first was-known cooperating — with-Dolabella having-happened
δὲ τῶνδε ἐν τῷ δήμῳ τὴν βουλὴν ὁ Ἀντώνιος ᾔτει
and these-things in the people the senate — Antony asked-for
Μακεδονίαν, εὖ εἰδώς, ὅτι αἰδέσονται, μετὰ Συρίαν
Macedonia well knowing that they-will-be-ashamed after Syria
δοθεῖσαν Δολοβέλλᾳ, ἀντειπεῖν περὶ Μακεδονίας
having-been-given to-Dolabella to-speak-against(-him) about Macedonia
Ἀντωνίῳ, καὶ ταῦτα γυμνῆς στρατοῦ γενομένης. καὶ
to-Antony and these-things bare of-army having-become and
ἔδοσαν μὲν ἄκοντες καὶ ἐν θαύματι ἔχοντες, ὅπως
they-gave(-it) indeed unwillingly and in wonder holding(-it) how
τὸν ἐν αὐτῇ στρατὸν προμεθῆκεν ὁ Ἀντώνιος
the in it army had-handed-over-beforehand — Antony
τῷ Δολοβέλλᾳ, ἠγάπων δὲ ὅμως Δολοβέλλαν ἔχειν
— to-Dolabella they-were-content but nevertheless Dolabella to-have
τὸν στρατὸν Ἀντωνίου μᾶλλον. ἐν καιρῷ δὲ αὐτοὶ τὸν
the army than-Antony rather at season and themselves —

Ἀντώνιον τοῖς ἀμφὶ τὸν Κάσσιον ἀντήτουν ἕτερα
Antony for-the(-men) around — Cassius demanded other
ἔθνη, καὶ ἐδόθη Κυρήνη τε καὶ Κρήτη, ὡς δ' ἑτέροις
provinces and were-given Cyrene both and Crete as but to-others
δοκεῖ, τάδε μὲν ἀμφότερα Κασσίῳ, Βιθυνία δὲ Βρούτῳ.
it-seems these indeed both to-Cassius Bithynia and to-Brutus

II · OCTAVIAN COMES TO ROME

At Apollonia Octavius learns of the murder; his mother and Philippus urge caution, and he crosses to Lupiae, near Brundisium, where the copies of the will reach him. He goes on to Brundisium, takes the name Caesar, and marches on Rome, gathering men. Quoting Achilles, he resolves to avenge Caesar and accepts the adoption before the praetor. He meets Antony in Pompey's gardens, reproaches him for sparing the murderers, and asks for Caesar's money for the people's legacy; Antony answers harshly.

9 τὰ μὲν δὴ γινόμενα ἐν Ῥώμῃ τοιάδε ἦν· Ὀκτάουιος
the(-things) indeed indeed happening in Rome such were Octavius
δὲ ὁ τῆς ἀδελφῆς τοῦ Καίσαρος θυγατριδοῦς ἵππαρχος
and the of-the sister — of-Caesar daughter's-son master-of-horse
μὲν αὐτοῦ Καίσαρος γεγένητο πρὸς ἓν ἔτος, ἐξ οὗ
indeed himself of-Caesar had-been for one year from when
τήνδε τὴν τιμὴν ὁ Καῖσαρ ἐς τοὺς φίλους περιφέρων
this the honor — Caesar to the friends passing-around
ἐτήσιον ἔσθ' ὅτε ἐποιεῖτο εἶναι, μειράκιον δὲ ἔτι ὢν ἐς
yearly there-is when made to-be a-youth and still being to
Ἀπολλωνίαν τὴν ἐπὶ τοῦ Ἰονίου παιδεύεσθαί τε καὶ
Apollonia the(-one) on the Ionian(-gulf) to-be-educated both and
ἀσκεῖσθαι τὰ πολέμια ἐπέμπετο ὑπὸ τοῦ Καίσαρος
to-be-trained-in the(-arts) of-war he-had-been-sent by — Caesar

ὡς ἐς τοὺς πολεμίους ἑψόμενος αὐτῷ. καὶ αὐτὸν ἐν
as against the enemies going-to-follow him and him in
τῇ Ἀπολλωνίᾳ ἱππέων ἴλαι παραλλὰξ ἐκ Μακεδονίας
— Apollonia of-horsemen squadrons in-turn from Macedonia
ἐπιοῦσαι συνεγύμναζον καὶ τῶν ἡγεμόνων τοῦ στρατοῦ
coming exercised-with(-him) and of-the officers of-the army
τινες ὡς συγγενεῖ Καίσαρος θαμινὰ ἐπεφοίτων. γνώσίς
some as to-a-kinsman of-Caesar frequently visited(-him) acquaintance
τε ἐκ τούτων αὐτῷ καὶ εὔνοια παρὰ τοῦ στρατοῦ τις
both from these to-him and goodwill from the army a-certain
ἐνεγίγνετο, σὺν χάριτι δεξιουμένῳ πάντας. ἕκτον δ' ἔχοντι
arose with grace greeting all sixth and (him)-having
μῆνα ἐν τῇ Ἀπολλωνίᾳ ἀγγέλλεται περὶ ἑσπέραν ὁ Καῖσαρ
month in — Apollonia is-announced about evening — Caesar
ἀνῃρημένος ἐν τῷ βουλευτηρίῳ πρὸς τῶν φιλτάτων καὶ παρ'
killed in the senate-house by the dearest and with
αὐτῷ δυνατωτάτων τότε μάλιστα. τῶν δὲ λοιπῶν οὐδενὸς
him most-powerful then most of-the but rest nothing
ἀπαγγελθέντος πω δέος αὐτὸν ἐπεῖχε καὶ ἄγνοια, εἴτε κοινὸν
having-been-reported yet fear him held and ignorance whether common
εἴη τῆς βουλῆς τὸ ἔργον εἴτε καὶ τῶν ἐργασαμένων
might-be of-the senate the deed or also of-the(-men) having-done(-it)
ἴδιον, καὶ εἰ δίκην ἤδη τοῖς πλείοσι δεδώκοιεν ἢ καὶ
private and whether penalty already to-the majority they-had-paid or even
τοῦδε εἶεν, ἢ καὶ τὸ πλῆθος αὐτοῖς συνήδοιτο.
of-this(-one) they-were or even the multitude with-them rejoiced
ἐφ' οἷς οἳ μὲν ἐς φυλακὴν τοῦ σώματος αὐτὸν ἠξίουν 10
at which some indeed for protection of-the body him asked
ἐπὶ τὸν ἐν Μακεδονίᾳ στρατὸν καταφυγεῖν καί, ὅτε
to the in Macedonia army to-flee-for-refuge and when
μάθοι μὴ κοινὸν εἶναι τὸ ἔργον, ἐπιθαρρήσαντα τοῖς
he-should-learn not common to-be the deed having-taken-courage on-the

ἐχθροῖς ἀμύνειν τῷ Καίσαρι· καὶ ἦσαν οἳ καὶ τῶν
enemies to-avenge — Caesar and there-were who also of-the
ἡγεμόνων αὐτὸν ἐλθόντα φυλάξειν ὑπεδέχοντο· ἡ δὲ μήτηρ
officers him having-come to-guard undertook the and mother
καὶ Φίλιππος, ὃς εἶχεν αὐτήν, ἀπὸ Ῥώμης ἔγραφον μήτε
and Philippus who had her from Rome wrote neither
ἐπαίρεσθαι μήτε θαρρεῖν πω μεμνημένον, οἷα Καῖσαρ
to-be-elated nor to-be-confident yet remembering what-things Caesar
ὁ παντὸς ἐχθροῦ κρατήσας ὑπὸ τῶν φιλτάτων μάλιστα
the(-one) every enemy having-mastered by the dearest most
πάθοι, τὰ δὲ ἰδιωτικώτερα ὡς ἐν τοῖς παροῦσιν
suffered the(-courses) but more-private as in the present(-circumstances)
ἀκινδυνότερα αἱρεῖσθαι μᾶλλον καὶ πρὸς σφᾶς ἐς Ῥώμην
less-dangerous to-choose rather and to them to Rome
ἐπείγεσθαι φυλασσόμενον. οἷς Ὀκτάουιος ἐνδοὺς διὰ
to-hasten guarding-himself to-whom Octavius yielding because-of
τὴν ἔτι ἄγνοιαν τῶν ἐπὶ τῷ θανάτῳ γενομένων, τοὺς
the still ignorance of-the(-things) at the death having-happened the
ἡγεμόνας τοῦ στρατοῦ δεξιωσάμενος διέπλει τὸν Ἰόνιον,
officers of-the army having-greeted sailed-across the Ionian(-sea)
οὐκ ἐς τὸ Βρεντέσιον (οὔπω γάρ τινα τοῦ ἐκεῖθι στρατοῦ
not to — Brundisium not-yet for any of-the there army
πεῖραν εἰληφὼς πάντα ἐφυλάσσετο), ἀλλ' ἐς ἑτέραν οὐ
trial having-taken everything he-was-guarding-against but to another not
μακρὰν ἀπὸ τοῦ Βρεντεσίου πόλιν, ἐκτὸς οὖσαν ὁδοῦ,
far from — Brundisium city off being (the)-road
ἧ ὄνομα Λουπίαι. ἐνταῦθα οὖν ἐνηυλίσατο διατρίβων.
whose name (is)-Lupiae there then he-bivouacked staying
11 ὡς δέ οἱ τά τε ἀκριβέστερα περὶ τοῦ φόνου καὶ
when and to-him the both more-exact(-accounts) about the murder and
τοῦ δημοσίου πάθους τῶν τε διαθηκῶν καὶ τῶν
of-the public grief of-the both will and of-the(-things)

ἐψηφισμένων ἦλθε τὰ ἀντίγραφα, οἳ μὲν ἔτι μᾶλλον
voted came the copies the(-ones) indeed still more
αὐτὸν ἠξίουν τοὺς ἐχθροὺς Καίσαρος δεδιέναι, υἱόν τε
him asked the enemies of-Caesar to-fear son both
αὐτοῦ καὶ κληρονόμον ὄντα, καὶ παρῄνουν ἅμα τῷ
his and heir being and urged(-him) together-with the
κλήρῳ τὴν θέσιν ἀπείπασθαι· ὁ δὲ καὶ ταῦτά οἱ καὶ
inheritance the adoption to-renounce he but both these-things to-him and
τὸ μὴ τιμωρεῖν αὐτὸν Καίσαρι αἰσχρὸν ἡγούμενος ἐς τὸ
the not to-avenge him Caesar shameful thinking to —
Βρεντέσιον ᾖει, προπέμψας καὶ διερευνησάμενος, μή τις
Brundisium went having-sent-ahead and having-searched lest any
ἐκ τῶν φονέων ἐγκαθέζοιτο ἐνέδρα. ὡς δὲ αὐτῷ καὶ ὁ
of the murderers should-be-sitting in-ambush when and him also the
ἐνθάδε στρατὸς οἷα Καίσαρος υἱὸν δεξιούμενος ἀπήντα,
there army as of-Caesar son greeting met(-him)
θαρρήσας ἔθυε καὶ εὐθὺς ὠνομάζετο Καῖσαρ. ἔθος
having-taken-courage he-sacrificed and at-once was-named Caesar custom
γάρ τι Ῥωμαίοις τοὺς θετοὺς τὰ τῶν θεμένων ὀνόματα
for some for-Romans the adopted the of-the adopters names
ἐπιλαμβάνειν. ὁ δὲ οὐκ ἐπέλαβεν, ἀλλὰ καὶ τὸ αὐτοῦ καὶ
to-take he but not took-in-addition but both the his-own and
τὸ πατρῷον ὅλως ἐνήλλαξεν, ἀντὶ Ὀκταουίου παιδὸς
the paternal(-name) wholly he-exchanged instead-of Octavius son
Ὀκταουίου Καῖσαρ εἶναι καὶ Καίσαρος υἱός, καὶ διετέλεσεν
of-Octavius Caesar to-be and of-Caesar son and continued
οὕτω χρώμενος. εὐθύς τε ἐς αὐτὸν ἄθρουν καὶ πανταχόθεν
so using(-it) at-once both to him in-crowds and from-all-sides
ὡς ἐς Καίσαρος υἱὸν πλῆθος ἀνθρώπων συνέθεον, οἳ μὲν
as to of-Caesar son a-multitude of-men ran-together some indeed
ἐκ φιλίας Καίσαρος, οἳ δὲ ἐξελεύθεροι καὶ θεράποντες
from friendship of-Caesar others and freedmen and servants

αὐτοῦ, καὶ ἕτεροι στρατιῶται σὺν αὐτοῖς, οἳ μὲν ἀποσκευὰς
his and other soldiers with them some indeed baggage
ἢ χρήματα φέροντες ἐς τὴν Μακεδονίαν, οἳ δὲ ἕτερα
or money bringing to — Macedonia others and other
χρήματα καὶ φόρους ἐξ ἐθνῶν ἄλλων ἐς τὸ Βρεντέσιον.
money and tributes from provinces other to — Brundisium
12 ὁ δὲ καὶ τῷ πλήθει τῶν εἰς αὐτὸν ἀφικνουμένων καὶ
he and both by-the multitude of-the(-men) to him arriving and
τῇ Καίσαρος αὐτοῦ δόξῃ τε καὶ τῇ πάντων εἰς ἐκεῖνον
by-the of-Caesar himself glory both and by-the of-all toward that-man
εὐνοίᾳ θαρρῶν ὥδευεν ἐς Ῥώμην σὺν ἀξιολόγῳ πλήθει,
goodwill being-encouraged marched to Rome with considerable multitude
αὐξομένῳ μᾶλλον ἑκάστης ἡμέρας οἷα χειμάρρῳ, φανερᾶς
increasing more each day like a-torrent open
μὲν ἐπιβουλῆς ὢν ἀμείνων διὰ τὸ πλῆθος, ἐνέδρας δὲ
indeed of-a-plot being superior because-of the multitude of-ambush but
δι᾽ αὐτὸ καὶ μάλιστα ὑφορώμενος, ἀρτιγνώστων οἱ
because-of it-itself also most suspicious recently-known to-him
τῶν συνόντων σχεδὸν ὄντων ἁπάντων. τὰ δὲ τῶν
of-the companions almost being all the(-attitudes) and of-the
πόλεων τῶν μὲν ἄλλων οὐ πάντῃ πρὸς αὐτὸν ἦν ὁμαλά·
cities of-the indeed others not in-every-way toward him were even
οἱ δὲ τῷ Καίσαρι στρατευσάμενοί τε καὶ ἐς κληρουχίας
the(-men) but — to-Caesar having-served both and into allotments
διῃρημένοι συνέτρεχον ἐκ τῶν ἀποικιῶν ἐπὶ χάριτι τοῦ
divided ran-together from the colonies for favor of-the
μειρακίου καὶ τὸν Καίσαρα ὠλοφύροντο καὶ τὸν Ἀντώνιον
youth and — Caesar lamented and — Antony
ἐβλασφήμουν οὐκ ἐπεξιόντα τηλικούτῳ μύσει καὶ σφᾶς
reviled not prosecuting so-great a-pollution and themselves
ἔλεγον, εἴ τις ἡγοῖτο, ἀμυνεῖν. οὓς ὁ Καῖσαρ
they-said if anyone should-lead to-be-going-to-avenge(-him) whom — Caesar

ἐπαινῶν καὶ ἀνατιθέμενος ἐν τῷ παρόντι ἀπέπεμπεν.
praising and putting-off in the present sent-away
ὄντι δ᾽ αὐτῷ περὶ Ταρρακίνας, ἀπὸ τετρακοσίων που
being and to-him about Tarracina from four-hundred about
Ῥώμης σταδίων, ἀγγέλλεται Κάσσιός τε καὶ Βροῦτος
of-Rome stades it-is-announced Cassius both and Brutus
ἀφῃρημένοι πρὸς τῶν ὑπάτων Συρίαν καὶ Μακεδονίαν
deprived by the consuls of-Syria and Macedonia
καὶ ἐς παρηγορίαν βραχύτερα ἕτερα Κυρήνην καὶ Κρήτην
and for consolation smaller others Cyrene and Crete
ἀντειληφότες, φυγάδων τέ τινων κάθοδοι καὶ Πομπηίου
having-received-instead of-exiles both some returns and of-Pompey
μετάκλησις καὶ ἀπὸ τῶν Καίσαρος ὑπομνημάτων ἔς τε
recall and from the of-Caesar memoranda into both
τὴν βουλὴν ἐγγραφαί τινων καὶ ἕτερα πολλὰ γιγνόμενα.
the senate enrollments of-some and other many(-things) happening
ὡς δ᾽ ἐς τὴν πόλιν ἀφίκετο, ἡ μὲν μήτηρ αὖθις 13
when and to the city he-arrived the indeed mother again
καὶ Φίλιππος ὅσοι τε ἄλλοι κηδεμόνες ἦσαν αὐτοῦ,
and Philippus as-many-as and other guardians were of-him
ἐδεδοίκεσαν τήν τε τῆς βουλῆς ἐς τὸν Καίσαρα
feared the both of-the senate toward — Caesar
ἀλλοτρίωσιν καὶ τὸ δόγμα, μὴ εἶναι δίκας ἐπὶ Καίσαρι
estrangement and the decree not to-be trials for Caesar('s)
φόνου, καὶ τὴν Ἀντωνίου τότε δυναστεύοντος ἐς αὐτὸν
murder and the of-Antony then being-in-power toward him
ὑπεροψίαν, οὔτε ἀφικομένου πρὸς τὸν Καίσαρος υἱὸν
disdain neither having-come to the of-Caesar son
ἐλθόντα οὔτε προσπέμψαντος αὐτῷ· ὁ δὲ καὶ ταῦτ᾽
having-come nor having-sent to-him he and also these-things
ἐπράυνεν, αὐτὸς ἀπαντήσειν ἐς τὸν Ἀντώνιον εἰπὼν οἷα
soothed himself going-to-go-to-meet to — Antony having-said as

νεώτερος ἐς πρεσβύτερον καὶ ἰδιώτης ἐς ὕπατον καὶ
a-younger(-man) to an-older and a-private-citizen to a-consul and
τὴν βουλὴν θεραπεύσειν τὰ εἰκότα. καὶ τὸ δόγμα
the senate going-to-court (with)-the fitting(-things) and the decree
ἔφη γενέσθαι μηδενός πω τοὺς ἀνδροφόνους διώκοντος·
he-said to-have-been-made no-one yet the murderers prosecuting
ἀλλ' ὁπότε θαρρήσας τις διώκοι, καὶ τὸν δῆμον
but whenever having-taken-courage someone should-prosecute both the people
ἐπικουρήσειν καὶ τὴν βουλὴν ὡς ἐννόμῳ καὶ τοὺς θεοὺς ὡς
going-to-help and the senate as lawful(-man) and the gods as
δικαίῳ καὶ τὸν Ἀντώνιον ἴσως. εἰ δὲ καὶ τοῦ κλήρου καὶ
just(-man) and — Antony perhaps if but both the inheritance and
τῆς θέσεως ὑπερίδοι, ἔς τε τὸν Καίσαρα ἁμαρτήσεσθαι
the adoption he-should-disdain to both — Caesar going-to-wrong
καὶ τὸν δῆμον ἀδικήσειν εἰς τὴν διανομήν. ἀπερρήγνυ τε
and the people going-to-injure in the distribution he-burst-out and
λήγων τοῦ λόγου, ὅτι μὴ κινδυνεύειν οἱ καλὸν εἴη
ending of-the speech that not to-risk for-him fine might-be
μόνον, ἀλλὰ καὶ θνήσκειν, εἰ προκριθεὶς ἐκ πάντων ἐς
only but even to-die if preferred out-of all to
τοσαῦτα ὑπὸ τοῦ Καίσαρος ἀντάξιος αὐτοῦ φαίνοιτο
so-much by — Caesar equal-in-worth of-him he-should-appear
φιλοκινδυνοτάτου γεγονότος. τά τε τοῦ Ἀχιλλέως,
most-danger-loving having-been the(-words) both — of-Achilles
ὑπόγυά οἱ τότε ὄντα μάλιστα, ἐς τὴν μητέρα ὥσπερ ἐς
at-hand to-him then being most to the mother as to
τὴν Θέτιν ἐπιστρεφόμενος ἔλεγεν· "αὐτίκα τεθναίην, ἐπεὶ
— Thetis turning he-said at-once may-I-die since
οὐκ ἄρ ἔμελλον ἑταίρῳ κτεινομένῳ ἐπαμύνειν". καὶ τόδε
not then I-was-to for-a-comrade being-slain to-bring-help and this
εἰπὼν Ἀχιλλεῖ μὲν ἔφη κόσμον ἀθάνατον ἐκ πάντων
having-said for-Achilles indeed he-said adornment immortal from all

εἶναι τοῦτο τὸ ἔπος, καὶ τὸ ἔργον αὐτοῦ μάλιστα· αὐτὸς
to-be this the word and the deed of-him most himself
δ' ἀνεκάλει τὸν Καίσαρα οὐχ ἑταῖρον, ἀλλὰ πατέρα, οὐδὲ
but invoked — Caesar not comrade but father nor
συστρατιώτην, ἀλλ' αὐτοκράτορα, οὐδὲ πολέμου νόμῳ
fellow-soldier but imperator nor of-war by-law
πεσόντα, ἀλλ' ἀθεμίστως ἐν βουλευτηρίῳ κατακοπέντα.
having-fallen but lawlessly in (the)-senate-house cut-down
ἐφ' οἷς αὐτὸν ἡ μήτηρ, ἐς ἡδονὴν ἐκ τοῦ δέους 14
at which him the mother to pleasure from the fear
ὑπαχθεῖσα, ἠσπάζετο ὡς μόνον ἄξιον Καίσαρος καὶ
having-been-brought-over embraced as alone worthy of-Caesar and
λέγειν ἔτι ἐπισχοῦσα ἐπέσπερχεν ἐς τὰ ἐγνωσμένα
to-speak still having-stopped(-him) urged(-him) on the(-things) decided
σὺν τῇ τύχῃ. παρῄνει γε μὴν ἔτι τέχνῃ καὶ ἀνεξικακίᾳ
with the fortune she-advised at-least indeed still with-skill and forbearance
μᾶλλον ἢ φανερᾷ θρασύτητί πω χρῆσθαι. καὶ ὁ
rather than open boldness yet to-act and —
Καῖσαρ ἐπαινέσας καὶ πράξειν ὑποσχόμενος οὕτως,
Caesar having-praised(-her) and to-do(-so) having-promised so
αὐτίκα τῆς ἑσπέρας ἐς τοὺς φίλους περιέπεμπεν, ἐς ἕω
at-once in-the evening to the friends sent-round for dawn
συγκαλῶν ἕκαστον ἐς τὴν ἀγορὰν μετὰ πλήθους. ἔνθα
summoning each to the forum with a-crowd where
Γάιον Ἀντώνιον τὸν ἀδελφὸν Ἀντωνίου, στρατηγοῦντα τῆς
Gaius Antonius the brother of-Antony being-praetor of-the
πόλεως, ὑπαντιάσας ἔφη δέχεσθαι τὴν θέσιν τοῦ Καίσαρος·
city having-met he-said to-accept the adoption — of-Caesar
ἔθος γάρ τι Ῥωμαίοις τοὺς θετοὺς ἐπὶ μάρτυσι γίγνεσθαι
custom for some for-Romans the adopted before witnesses to-be
τοῖς στρατηγοῖς. ἀπογραψαμένων δὲ τῶν δημοσίων τὸ
the praetors having-registered and the public(-clerks) the

ῥῆμα, εὐθὺς ἐκ τῆς ἀγορᾶς ἐς τὸν Ἀντώνιον ἐχώρει. ὁ
statement at-once from the forum to — Antony he-went he
δὲ ἦν ἐν κήποις, οὓς ὁ Καῖσαρ αὐτῷ δεδώρητο Πομπηίου
and was in gardens which — Caesar to-him had-given of-Pompey
γενομένους. διατριβῆς δὲ ἀμφὶ τὰς θύρας πλείονος
having-been delay and around the doors longer
γενομένης ὁ μὲν Καῖσαρ καὶ τάδε ἐς ὑποψίαν Ἀντωνίου
having-occurred — indeed Caesar also this to suspicion of-Antony
τῆς ἀλλοτριώσεως ἐτίθετο, εἰσκληθέντος δέ ποτε ἦσαν
of-the estrangement put having-been-called-in and at-length there-were
προσαγορεύσεις τε καὶ περὶ ἀλλήλων πύσματα εἰκότα.
greetings both and about one-another inquiries fitting
15 ὡς δὲ ἤδη λέγειν ἔδει περὶ ὧν ἦσαν ἐν χρείᾳ, ὁ
when and now to-speak it-was-necessary about what they-were in need —
Καῖσαρ εἶπεν· "ἐγὼ δέ, πάτερ Ἀντώνιε (πατέρα γὰρ εἶναι
Caesar said I and father Antony father for to-be
σέ μοι δικαιοῦσιν αἵ τε Καίσαρος ἐς σὲ εὐεργεσίαι
you to-me justify the both of-Caesar toward you benefactions
καὶ ἡ σὴ πρὸς ἐκεῖνον χάρις), τῶν σοι πεπραγμένων
and the your toward him gratitude of-the by-you done(-things)
ἐπ' ἐκείνῳ τὰ μὲν ἐπαινῶ καὶ χάριν αὐτῶν ὀφλήσω,
for him the(-ones) indeed I-praise and gratitude for-them I-shall-owe
τὰ δ' ἐπιμέμφομαι, καὶ λελέξεται μετὰ παρρησίας, ἐς
the(-others) but I-blame and it-shall-be-said with frankness to
ἣν ἡ λύπη με προάγει. κτεινομένῳ μὲν οὐ παρῆς, τῶν
which the grief me leads being-killed indeed not you-were-present the
φονέων σε περισπασάντων περὶ θύρας, ἐπεὶ περιέσωζες
murderers you having-drawn-aside at (the)-doors since you-would-have-saved
ἂν αὐτὸν ἢ συνεκινδύνευες ὅμοια παθεῖν· ὧν
— him or you-would-have-shared-danger like(-things) to-suffer of-which
εἰ θάτερον ἔμελλεν ἔσεσθαι, καλῶς, ὅτι μὴ παρῆς.
if either was-going to-be well that not you-were-present

ψηφιζομένων δέ τινων αὐτοῖς ὡς ἐπὶ τυράννῳ γέρα
voting and some for-them as for tyrant prizes
ἀντεῖπας ἐγκρατῶς· καὶ τοῦδέ σοι χάριν οἶδα λαμπράν,
you-spoke-against firmly and for-this to-you gratitude I-know shining
εἰ καὶ τοὺς ἄνδρας ἔγνως συνανελεῖν σε βεβουλευμένους,
if also the men you-knew to-kill-along you having-planned
οὐχ, ὡς ἡμεῖς ἡγούμεθα, τιμωρὸν ἐσόμενον Καίσαρι, ἀλλ',
not as we think avenger going-to-be for-Caesar but
ὡς αὐτοὶ λέγουσι, τῆς τυραννίδος διάδοχον. ἅμα δ' οὐκ
as themselves say of-the tyranny successor at-once but not
ἦσαν ἐκεῖνοι τυραννοκτόνοι, εἰ μὴ καὶ φονεῖς ἦσαν· διὸ
were they tyrant-slayers if not also murderers they-were wherefore
καὶ ἐς τὸ Καπιτώλιον συνέφυγον ὡς ἐς ἱερὸν ἁμαρτόντες
also into — Capitol they-fled-together as to a-temple having-sinned
ἱκέται ἢ ὡς ἐς ἀκρόπολιν ἐχθροί. πόθεν οὖν αὐτοῖς
suppliants or as to a-citadel enemies whence then for-them
ἀμνηστία καὶ τὸ ἀνεύθυνον τοῦ φόνου, ἢ τῆς βουλῆς
amnesty and the unaccountability of-the murder or of-the senate
καὶ τοῦ δήμου εἴ τινες ἐφθάρατο ὑπ' ἐκείνων; καὶ σὲ
and of-the people if some had-been-corrupted by them and you
τὸ τῶν πλεόνων ὁρᾶν ἐχρῆν, ὕπατον ὄντα. ἀλλὰ καὶ
the of-the majority to-regard it-was-needful consul being but even
θάτερα βουλομένῳ σοι ἡ ἀρχὴ συνελάμβανε, τιμωρουμένῳ
the-other (you)-wishing to-you the office would-have-helped avenging
τηλικοῦτον ἄγος καὶ τοὺς πλανωμένους μεταδιδάσκοντι.
so-great a-pollution and the(-men) erring re-teaching
σὺ δὲ καὶ ὅμηρα τῆς ἀδείας, οἰκεῖα αὐτοῦ σοῦ, τοῖς
you but even hostages of-the safety kin yourself of-you to-the
ἀνδροφόνοις ἔπεμψας ἐς τὸ Καπιτώλιον. ἀλλ' ἔστων καὶ
murderers you-sent to — Capitol but let-them-be also
ταῦτα οἱ διεφθαρμένοι σε βιάσασθαι. ὅτε μέντοι τῶν
these-things the corrupted(-men) you to-have-forced when however the

διαθηκῶν ἀναγνωσθεισῶν καὶ αὐτοῦ σοῦ δίκαιον ἐπιτάφιον
will having-been-read and yourself of-you just funeral-speech
εἰπόντος ὁ δῆμος ἐν ἀκριβεῖ Καίσαρος μνήμῃ γενόμενοι
having-spoken the people in exact of-Caesar memory having-become
πῦρ ἐπ᾽ αὐτοὺς ἔφερον καὶ φεισάμενοι χάριν τῶν
fire against them were-bringing and having-spared(-them) for-the-sake of-the
γειτόνων ἐς τὴν ἐπιοῦσαν ἥξειν ἐπὶ ὅπλα συνέθεντο,
neighbors for the following(-day) to-come to arms agreed
πῶς οὐχὶ τῷ δήμῳ συνέπραξας καὶ ἐστρατήγησας τοῦ
how not with-the people you-cooperated and led of-the
πυρὸς ἢ τῶν ὅπλων ἢ δίκην γε τοῖς ἀνδροφόνοις
fire or of-the arms or penalty at-least for-the murderers
ἐπέγραψας, εἰ δίκης ἔδει κατὰ αὐτοφώρων, καὶ
you-proposed if a-trial was-needed against (men)-caught-in-the-act both
φίλος ὢν Καίσαρι καὶ ὕπατος καὶ Ἀντώνιος;
friend being to-Caesar and consul and Antony
16 ἀλλὰ Μάριος μὲν ἐξ ἐπιτάγματος ἀνῃρέθη κατὰ τὸ τῆς
but Marius indeed by command was-killed according-to the of-the
ἀρχῆς μέγεθος, ἀνδροφόνους δὲ ἐκφυγεῖν ὑπερεῖδες καὶ ἐς
office greatness murderers but to-escape you-overlooked and to
ἡγεμονίας ἐνίους διαδραμεῖν, ἃς ἀθεμίστως ἔχουσι τὸν
commands some to-slip-away which lawlessly they-hold the(-one)
δόντα ἀνελόντες. Συρίαν μὲν δὴ καὶ Μακεδονίαν
having-given(-them) having-killed Syria indeed indeed and Macedonia
εὖ ποιοῦντες οἱ ὕπατοι, σὺ καὶ Δολοβέλλας, καθισταμένων
well doing the consuls you and Dolabella being-settled
ἄρτι τῶν πραγμάτων περιεσπάσατε ἐς ἑαυτούς. καὶ
just-now the affairs you-drew-away to yourselves and
τοῦδέ σοι χάριν ἤδειν ἄν, εἰ μὴ αὐτίκα Κυρήνην
for-this to-you gratitude would-I-have-known — if not at-once Cyrene
καὶ Κρήτην αὐτοῖς ἐψηφίσασθε καὶ φυγάδας ἠξιώσατε
and Crete to-them you-had-voted and exiles you-thought-fit

ἡγεμονίαις αἰεὶ κατ᾽ ἐμοῦ δορυφορεῖσθαι· Δέκμον τε
with-commands always against me to-be-guarded Decimus and
τὴν ἐγγὺς Κελτικὴν ὑπερορᾶτε ἔχοντα, καὶ τόνδε τοῖς
the near Celtica you-overlook holding and this(-man) to-the
ἄλλοις ὁμοίως αὐθέντην τοὐμοῦ πατρὸς γενόμενον. ἀλλὰ
others alike murderer of-my father having-been but
καὶ τάδε τὴν βουλὴν ἐρεῖ τις ἐγνωκέναι. σὺ δ᾽
even these-things the senate will-say someone to-have-decided you but
ἐπεψήφιζες καὶ προυκάθησο τῆς βουλῆς, ᾧ μάλιστα
put-it-to-vote and presided-over the senate to-whom most
πάντων ἥρμοζε διὰ σαυτὸν ἀντειπεῖν· τὸ γὰρ ἀμνηστίαν
of-all it-befitted for yourself to-speak-against(-it) the for amnesty
δοῦναι τὴν σωτηρίαν ἦν ἐκείνοις χαριζομένων μόνον,
to-give the safety was to-those of-(men)-granting-favor only
τὸ δὲ ἡγεμονίας αὖθις ψηφίζεσθαι καὶ γέρα ὑβριζόντων
the but commands again to-vote and prizes of-(men)-insulting
Καίσαρα καὶ τὴν σὴν γνώμην ἀκυρούντων. ἐπὶ τάδε
Caesar and the your judgment annulling to these-things
με δὴ τὸ πάθος ἐξήνεγκε παρὰ τὸ ἁρμόζον ἴσως ἐμοὶ
me indeed the grief has-carried beyond the fitting perhaps for-me
τῆς τε ἡλικίας καὶ τῆς πρὸς σὲ αἰδοῦς. εἴρηται δ᾽
of-the both age and of-the toward you respect it-has-been-said but
ὅμως ὡς ἐς ἀκριβέστερον φίλον Καίσαρι καὶ πλείστης
nevertheless as to a-more-exact friend to-Caesar and of-most
ὑπ᾽ ἐκείνου τιμῆς καὶ δυνάμεως ἠξιωμένον καὶ τάχα ἂν
by him honor and power thought-worthy and perhaps —
αὐτῷ καὶ θετὸν γενόμενον, εἰ ᾔδει σε δεξόμενον
to-him even adopted would-have-become if he-had-known you going-to-accept
Αἰνεάδην ἀντὶ Ἡρακλείδου γενέσθαι· τοῦτο γὰρ αὐτὸν
an-Aenead instead-of a-Heraclid to-become this for him
*** ἐνδοιάσαι, πολὺν τῆς διαδοχῆς λόγον ποιούμενον.
(lacuna) to-have-hesitated much of-the succession account making

17 ἐς δὲ τὸ μέλλον, ὦ Ἀντώνιε, πρὸς θεῶν τε φιλίων καὶ πρὸς
for and the future O Antony by gods both of-friendship and by
αὐτοῦ σοι Καίσαρος, εἰ μέν τι καὶ τῶν γεγονότων
himself to-you Caesar if indeed anything also of-the(-things) done
μεταθέσθαι θέλεις (δύνασαι γάρ, εἰ θέλεις)· εἰ δὲ μή,
to-change you-wish you-can for if you-wish if but not
τά γε λοιπὰ τοὺς φονέας ἀμυνομένῳ μοι μετὰ τοῦ
the(-things) at-least remaining the murderers (me)-avenging to-me with the
δήμου καὶ τῶνδε τῶν ἔτι μοι πατρικῶν φίλων συνίστασθαι
people and these the still to-me paternal friends to-join
καὶ συνεργεῖν· εἰ δέ σε τῶν ἀνδρῶν τις ἢ τῆς βουλῆς
and to-cooperate if but you of-the men some(-regard) or of-the senate
αἰδὼς ἔχει, μὴ ἐπιβαρεῖν. καὶ τάδε μὲν ἀμφὶ τούτων·
respect holds not to-be-burdensome also these-things indeed about these
οἶσθα δ', ὅπως ἔχει μοι καὶ τὰ οἴκοι, δαπάνης τε ἐς
you-know but how stands for-me also the(-affairs) at-home of-expense both for
τὴν διανομήν, ἣν ὁ πατὴρ ἐκέλευσε τῷ δήμῳ δοθῆναι,
the distribution which the father bade to-the people to-be-given
καὶ ἐπείξεως ἐς αὐτήν, ἵνα μὴ βραδύνων ἀχάριστος εἶναι
and of-urgency for it so-that not delaying ungrateful to-be
δοκοίην μηδ' ὅσοι καταλεχθέντες εἰς τὰς ἀποικίας
I-might-seem nor as-many-as enrolled for the colonies
ἐπιμένουσι τῇ πόλει, δι' ἐμὲ τρίβοιντο. ὅσα δὴ
remain in-the city because-of me might-be-worn-out as-much-as indeed
τῶν Καίσαρος εὐθέως ἐπὶ τῷ φόνῳ πρὸς σὲ μετενήνεκται
of-the of-Caesar(-goods) at-once after the murder to you have-been-transferred
ὡς ἐπ' ἀσφαλὲς ἐξ ἐπικινδύνου τότε οἰκίας, τὰ μὲν κειμήλια
as to safety from a-dangerous then house the indeed treasures
αὐτῶν καὶ τὸν ἄλλον ἅπαντα κόσμον ἔχειν ἀξιῶ σε καὶ ὅσα
of-them and the other all adornment to-have I-ask you and whatever
ἂν ἐθέλῃς ἄλλα παρ' ἡμῶν ἐπιλαβεῖν, ἐς δὲ τὴν διανομὴν
— you-wish other from us to-take-in-addition for but the distribution

ἀποδοῦναί μοι τὸ χρυσίον τὸ ἐπίσημον, ὃ συνηθροίκει
to-give-back to-me the gold the coined which he-had-collected
μὲν ἐς τοὺς πολέμους ἐκεῖνος, οὓς ἐπενόει, ἀρκέσει δ'
indeed for the wars he which he-was-planning it-will-suffice and
ἐμοὶ νῦν ἐς τριάκοντα μυριάδας ἀνδρῶν μεριζόμενον. τὰ δὲ
for-me now for thirty myriads of-men being-divided the and
λοιπὰ τῆς δαπάνης, εἰ μὲν θαρρήσαιμί σοι, παρὰ σοῦ ἂν
rest of-the expense if indeed I-should-trust you from you —
ἴσως ἢ διὰ σοῦ δανεισαίμην ἐκ τῶν δημοσίων χρημάτων,
perhaps or through you I-might-borrow from the public money
ἂν διδῷς· διαπεπράσεται δὲ αὐτίκα καὶ ἡ οὐσία".
if you-give will-be-sold and at-once also the property
τοιαῦτα τοῦ Καίσαρος εἰπόντος ὁ Ἀντώνιος κατεπλάγη, 18
such — Caesar having-spoken — Antony was-astounded-at
τῆς τε παρρησίας καὶ τῆς εὐτολμίας παρὰ δόξαν οἱ
the both frankness and the boldness beyond expectation to-him
πολλῆς καὶ παρ' ἡλικίαν φανείσης. χαλεψάμενος δὲ τοῖς
great and beyond age having-appeared being-angry and with-the
τε λόγοις οὐχ ὅσον ἔδει τὸ πρέπον ἐς αὐτὸν
both words not as-much-as was-needful the fitting toward him
ἐσχηκόσι καὶ μάλιστα τῶν χρημάτων τῇ ἀπαιτήσει,
having-had and most of-the money with-the demand
αὐστηρότερον αὐτὸν ὧδε ἠμείψατο· "εἰ μὲν ὁ Καῖσάρ
more-harshly him thus answered if indeed — Caesar
σοι μετὰ κλήρου καὶ τῆς ἐπωνυμίας, ὦ παῖ, καὶ τὴν
to-you with inheritance and the name O boy also the
ἡγεμονίαν κατέλιπεν, εἰκὸς σὲ τῶν κοινῶν τοὺς
empire had-left reasonable(-it-were) you of-the public(-affairs) the
λογισμοὺς αἰτεῖν κἀμὲ ὑπέχειν. εἰ δὲ οὐδενί πω Ῥωμαῖοι
accounts to-ask and-me to-render(-them) if but to-no-one yet Romans
τὴν ἡγεμονίαν ἔδοσαν ἐκ διαδοχῆς, οὐδὲ τῶν βασιλέων,
the empire gave by succession not-even to-the kings

οὓς ἐκβαλόντες ἐπώμοσαν μηδ' ἄλλων ἔτι ἀνέξεσθαι, (ὃ
whom having-expelled they-swore not others still to-tolerate which
καὶ τῷ πατρί σου μάλιστα οἱ φονεῖς ἐπιλέγοντες φασὶν
also to-the father your most the murderers alleging say
ἀνελεῖν αὐτὸν βασιλιζόμενον, οὐχ ἡγούμενον ἔτι), ἐμοὶ μὲν
to-have-killed him being-king not leading further to-me indeed
οὐδ' ἀποκρίσεως δεῖ πρὸς σὲ περὶ τῶν κοινῶν,
not-even of-answer is-there-need to you about the public(-affairs)
τῷ δ' αὐτῷ λόγῳ καὶ σὲ κουφίζω, μὴ χάριν ὀφείλειν
by-the and same reason also you I-release not gratitude to-owe
ἡμῖν ἐπ' αὐτοῖς. ἐπράσσετο γὰρ οὐ σοῦ χάριν, ἀλλὰ
to-us for them they-were-done for not your for-the-sake but
τοῦ δήμου, πλὴν ἑνὸς τοῦ μεγίστου δὴ μάλιστα πάντων
of-the people except one the greatest indeed most of-all
ἔς τε Καίσαρα καὶ σὲ ἔργου. εἰ γὰρ τοῦ κατ' ἐμαυτὸν
to both Caesar and you deed if for for-the by myself
ἕνεκα ἀδεοῦς καὶ ἀνεπιφθόνου περιεῖδον ἐγὼ τιμὰς
sake of-safety and unenvied(-ease) I-had-overlooked I honors
ψηφιζομένας τοῖς φονεῦσιν ὡς τυραννοκτόνοις, τύραννος
being-voted for-the murderers as tyrant-slayers tyrant
ὁ Καῖσαρ ἐγίγνετο, ᾧ μήτε δόξης μήτε τιμῆς τινος
— Caesar would-have-become to-whom neither of-glory nor of-honor any
ἢ τῶν ἐγνωσμένων βεβαιώσεως ἔτι μετῆν. οὐ
or of-the(-things) decided confirmation still would-have-belonged not
διαθήκας εἶχεν ἄν, οὐ παῖδα, οὐκ οὐσίαν, οὐκ αὐτὸ
will he-would-have-had — not son not property not itself
τὸ σῶμα ταφῆς ἀξιούμενον, οὐδὲ ἰδιώτου· ἄταφα γὰρ
the body burial thought-worthy-of not-even of-a-private-man unburied for
οἱ νόμοι τὰ σώματα τῶν τυράννων ὑπερορίζουσι καὶ
the laws the bodies of-the tyrants cast-beyond-the-borders and
τὴν μνήμην ἀτιμοῦσι καὶ δημεύουσι τὴν περιουσίαν.
the memory dishonor and confiscate the property

ὧν ἐγὼ δεδιὼς ἕκαστον ὑπερηγωνιζόμην Καίσαρος, 19
of-which I fearing each I-contended-for Caesar
ἀθανάτου τε δόξης καὶ δημοσίας ταφῆς, οὐκ ἀκινδύνως
immortal both glory and public burial not without-danger
οὐδ' ἀνεπιφθόνως ἐμαυτῷ, τυχεῖν, πρός τε ἄνδρας
nor without-envy for-myself to-obtain against both men
ταχυεργεῖς καὶ φόνου πλήρεις καί, ὡς ἔμαθες, ἤδη
quick-to-act and of-murder full and as you-have-learned already
καὶ ἐπ' ἐμὲ συνομωμοσμένους πρός τε τὴν βουλὴν
also against me conspired against both the senate
ἀχθομένην σου τῷ πατρὶ τῆς ἀρχῆς. ἀλλὰ καὶ ταῦτα
vexed your at-the father for-the rule but even these-things
κινδυνεύειν καὶ παθεῖν ὁτιοῦν ᾑρούμην ἑκὼν μᾶλλον
to-risk and to-suffer anything-whatever I-chose willingly rather
ἢ ἄταφον καὶ ἄτιμον γιγνόμενον περιδεῖν Καίσαρα,
than unburied and dishonored becoming to-overlook Caesar
ἄριστον ἀνδρῶν τῶν ἐφ' ἑαυτοῦ καὶ εὐτυχέστατον ἐς
best of-men of-the in his-own(-time) and most-fortunate for
τὰ πλεῖστα καὶ ἀξιοτιμότατον ἐκ πάντων ἐμοὶ γενόμενον.
the most(-things) and most-worthy-of-honor from all to-me having-been
τοῖς δ' αὐτοῖς μου τοῖσδε κινδύνοις καὶ σὺ τὰ νῦν σοι
by-the and same my these dangers also you the now to-you
παρόντα πάντα λαμπρὰ τῶν Καίσαρος ἔχεις, γένος,
present(-things) all brilliant of-the(-things) of-Caesar you-have family
ὄνομα, ἀξίωμα, περιουσίαν. ὧν σε δικαιότερον ἦν ἐμοὶ
name dignity property for-which you more-justly it-was to-me
χάριν εἰδέναι μᾶλλον ἢ τὰ ἐκλειφθέντα εἰς τὴν τῆς
gratitude to-know rather than the(-things) having-been-given-up for the of-the
βουλῆς παρηγορίαν ἢ ἐς ἀντίδοσιν τῶνδε, ὧν ἔχρῃζον, ἢ
senate consolation or for exchange of-these which I-needed or
κατ' ἄλλας χρείας ἢ λογισμοὺς ἐπιμέμφεσθαι πρεσβυτέρῳ
for other needs or reasons to-blame (one)-older

νεώτερον ὄντα. καὶ τάδε μὲν ἀρκέσει σοι περὶ τῶνδε
(one)-younger being and these-things indeed will-suffice to-you about these
εἰρῆσθαι· ἐνσημαίνῃ δὲ καὶ τῆς ἡγεμονίας με ἐπιθυμεῖν,
to-have-been-said you-hint and also of-the empire me to-desire
οὐκ ἐπιθυμοῦντα μέν, οὐκ ἀπάξιον δὲ ἡγούμενον εἶναι,
not desiring indeed not unworthy but thinking to-be
καὶ ἄχθεσθαι μὴ τυχόντα τῶν διαθηκῶν τῶν Καίσαρος,
and to-be-vexed not having-obtained the will the of-Caesar
ὁμολογῶν μοι καὶ τὸ τῶν Ἡρακλειδῶν γένος ἀρκεῖν.
confessing for-me also the of-the Heraclids race to-suffice
περὶ δὲ τῶν σῶν χρειῶν, ἐθέλοντα μέν σε ἐκ τῶν
about and the your needs wishing indeed you from the
myself thought equally-matched to-be to-the enemies not to-these
τοῖς φανεροῖς, ὡς οἴεται Καῖσαρ, ἀλλὰ τοῖς πλέοσί τε
the open(-ones) as thinks Caesar but to-the more both
καὶ δυνατωτέροις καὶ ἀφανέσιν ἔτι εἶναι θέλουσι. ταῦτα
and more-powerful and hidden still to-be wishing these-things
δ' ἐργασαμένῳ μοι ἕτερος τῶν σφαγέων ἔλειπεν ἐν
and having-done for-me another of-the slayers remained on
πλευραῖς, Βροῦτος ὁ Δέκμος, ἡγούμενος καὶ ὅδε χώρας
flanks Brutus — Decimus commanding and this(-man) a-country
ἐπικαίρου καὶ στρατοῦ πολλοῦ· ὃν ἐγὼ καὶ θρασύτερον
strategic and army large whom I also bolder
εἰδὼς τὴν Κελτικὴν ἀφῃρούμην, ἐς εὐπρέπειαν ἔτι τῆς
knowing — Celtica was-taking-away for show still of-the
βουλῆς Μακεδονίαν ὑπισχνούμενος ἀντιδώσειν,
senate Macedonia promising to-be-going-to-give-in-exchange
γυμνὴν στρατοῦ γενομένην. ἀγανακτούσης δὲ τῆς βουλῆς
bare of-army having-become being-indignant and the senate
καὶ τὴν ἐνέδραν ἤδη καθορώσης καὶ ἴστε οἷα καὶ
and the ambush already perceiving and you-know what-sort and

ὅσα Δέκμῳ πολλῶν γραφόντων καὶ ἐπαλειφόντων ἤδη
how-many to-Decimus many writing and inciting already
τοὺς μετ᾽ ἐμὲ ὑπάτους, ἐγὼ θρασύτερον ἔτι τὸ μὲν ἔθνος,
the(-men) after me consuls I bolder still the indeed province
ἀντὶ τῆς βουλῆς, νόμῳ παρὰ τοῦ δήμου λαβεῖν ἐπενόησα,
instead-of the senate by-law from the people to-take planned
τὸν δὲ στρατὸν ἀπὸ τῆς Μακεδονίας ἐς τὸ Βρεντέσιον
the and army from — Macedonia to — Brundisium
ἐπέρων ὡς χρησόμενος δὴ ἐς τὰ ἐπείγοντα. καὶ σὺν
was-bringing-over as going-to-use indeed for the pressing(-needs) and with
θεοῖς εἰπεῖν, χρησόμεθα, ὡς ἂν αἱ χρεῖαι καλῶσιν.
gods to-say we-shall-use(-it) as — the needs may-call
38 οὕτως ἐκ πολλοῦ δέους τοῦ πρὶν ἡμᾶς ἐπισχόντος
thus from much fear the before us having-held
μετεβάλομεν ἔς τε ἀσφάλειαν ὑπὲρ ἡμῶν αὐτῶν ἐγκρατῆ
we-changed to both safety for our- -selves firm
καὶ ἐς θάρσος ἐπὶ τοὺς ἐχθρούς· ὧν ἐκφανέντων
and to courage against the enemies which having-come-to-light
ἀνεφάνη καὶ ἡ τῶν πλεόνων ἐς τοὺς πολεμίους σπουδή.
there-appeared also the of-the majority toward the enemies zeal
ὁρᾶτε γάρ, ὅση μὲν αὐτοῖς ἐστι μεταμέλεια τῶν
you-see for how-great indeed to-them is regret of-the(-things)
ἐψηφισμένων, ὅσος δὲ ἀγὼν ἀφελέσθαι με τὴν Κελτικὴν
voted how-great and struggle to-take-away me — Celtica
ἤδη δεδομένην. ἴστε, ἃ γράφουσι Δέκμῳ καὶ ὅσα
already given you-know what they-write to-Decimus and how-much
τοὺς ὑπάτους τοὺς μετ᾽ ἐμὲ πείθουσι περὶ τῆς Κελτικῆς
the consuls the(-ones) after me they-persuade about — Celtica
μεταψηφίσασθαι. ἀλλὰ σὺν θεοῖς τε πατρῴοις καὶ σὺν
to-revoke-by-vote but with gods both paternal and with
εὐσεβεῖ γνώμῃ καὶ σὺν ταῖς ὑμετέραις ἀνδραγαθίαις, μεθ᾽
pious judgment and with the your brave-deeds with

ὧν καὶ ὁ Καῖσαρ ἐκράτει, ἀμυνοῦμεν αὐτῷ, τῷ τε
which also — Caesar conquered we-shall-defend for-him with-the both
σώματι ἐπεξιόντες καὶ τῇ γνώμῃ βοηθοῦντες. ταῦτά
body going-out-against and with-the judgment helping these-things
μοι γιγνόμενα μέν, ὦ συστρατιῶται, ἔτι ἔχρηζον ἀπόρρητα
to-me being-done indeed O fellow-soldiers still needed secret
εἶναι, γενόμενα δὲ ἐξενήνεκται πρὸς ὑμᾶς, οὓς ἐγὼ
to-be having-been-done but have-been-brought-out to you whom I
καὶ ἔργου καὶ λόγου κοινωνοὺς ἐς ἅπαντα τίθεμαι. καὶ
both of-deed and of-word sharers in all I-count and
τοῖς ἄλλοις, εἴ τινες αὐτὰ οὐ συνορῶσι, μεταφέρετε, πλὴν
to-the others if any them not perceive convey(-them) except
μόνου Καίσαρος ἀχαρίστως ἐς ἡμᾶς ἔχοντος".
only Caesar ungratefully toward us being-disposed

VI · THE PLOT AND THE VETERANS

The officers reconcile the two again on the Capitol, but Antony produces some of his own bodyguards as Octavian's agents in a plot against him; Octavian protests and offers himself for trial. Hearing that the army at Brundisium resents him, Antony goes there, and Octavian raises some ten thousand veterans in Campania with gifts. Led into Rome by the tribune Cannutius, he speaks against Antony; many veterans ask to go home, but soon return to arms, and he recruits around Ravenna.

τοιαῦτα τοῦ Ἀντωνίου διεξιόντος, παρέστη τοῖς ταξιάρχαις 39
such(-things) — Antony relating it-occurred to-the officers
αὐτὸν ἅπαντα μετ' ἔχθρας ἀκριβοῦς ἐς τοὺς ἀνδροφόνους,
him all with enmity exact against the murderers
ἐπιτεχνάζοντα τῇ βουλῇ, πεποιηκέναι. ἠξίουν δὲ καὶ
contriving to-the senate to-have-done they-asked and even
ὡς τῷ Καίσαρι συναλλαγῆναι καὶ πείσαντες αὐτοὺς
so — with-Caesar to-be-reconciled and having-persuaded them

συνήλλασσον αὖθις ἐν τῷ Καπιτωλίῳ. οὐ πολὺ δὲ ὕστερον
reconciled(-them) again in — Capitol not long and after
ὁ Ἀντώνιος τῶν σωματοφυλάκων τινὰς ἐς τοὺς φίλους
— Antony of-the bodyguards some to the friends
παρήγαγεν ὡς ὑπηρέτας γενομένους ἐπιβουλεύοντος αὐτῷ
brought-forward as agents having-become plotting against-him
τοῦ Καίσαρος, εἴτε συκοφαντῶν εἴτε τῷ ὄντι νομίσας
— Caesar whether slandering or in-the reality having-believed(-it)
εἴτε περὶ τῶν εἰς τὰ στρατόπεδα περιπεμφθέντων
or about the(-men) into the camps sent-round
πυθόμενος καὶ τὴν ἐς τὸ ἔργον ἐπιβουλὴν μεταφέρων ἐς
having-learned and the against the deed plot transferring to
τὸ σῶμα. ὅ τε λόγος ἐκδραμὼν αὐτίκα θόρυβον ἤγειρε
the person the and report having-run-out at-once uproar raised
πάνδημον, καὶ ἀγανάκτησις ἦν. ὀλίγοι μὲν γάρ, οἷς
universal and indignation there-was few indeed for to-whom
τι λογισμοῦ βαθέος ἦν, ᾔδεσαν Καίσαρι συμφέρειν
some of-reasoning deep was knew for-Caesar to-be-advantageous
Ἀντώνιον καὶ βλάπτοντα ὅμως περιεῖναι, ἐπίφοβον ὄντα
Antony even harming nevertheless to-survive formidable being
τοῖς φονεῦσιν· ἀποθανόντος γὰρ ἀδεέστερον ἐκείνους ἅπασιν
to-the murderers having-died for more-fearlessly those against-all
ἐπιτολμήσειν, βοηθουμένους μάλιστα ὑπὸ τῆς βουλῆς. ὧδε
to-be-going-to-dare being-helped most by the senate thus
μὲν εἴκαζον οἱ συνετώτεροι· τὸ δὲ πλέον, ὁρῶντες,
indeed guessed the more-intelligent the but greater(-part) seeing
οἷα καθ' ἑκάστην ἡμέραν ὁ Καῖσαρ ὑβριζόμενός τε καὶ
what by each day — Caesar being-insulted both and
ζημιούμενος πάσχοι, οὐκ ἄπιστον ἐτίθεντο τὴν διαβολὴν
being-damaged suffered not incredible deemed the slander
οὐδὲ ὅσιον ἢ ἀνεκτὸν ἐνόμιζον Ἀντώνιον ὑπατεύοντα ἐς
nor holy or tolerable thought(-it) Antony being-consul against

τὸ σῶμα ἐπιβεβουλεῦσθαι. ὁ δὲ Καῖσαρ καὶ πρὸς οὕτως
the person to-have-been-plotted — and Caesar even to(-men) thus
ἔχοντας ἐξέτρεχε σὺν ὀργῇ μανιώδει καὶ ἐβόα αὐτὸς
being-disposed ran-out with anger mad and shouted himself
ἐπιβουλεύεσθαι πρὸς Ἀντωνίου ἐς τὴν παρὰ τῷ δήμῳ φιλίαν
to-be-plotted-against by Antony for the with the people friendship
ἔτι οἱ μόνην οὖσαν· ἐπί τε τὰς θύρας τοῦ Ἀντωνίου
still to-him alone being to both the doors — of-Antony
δραμὼν τὰ αὐτὰ ἐβόα καὶ θεοὺς ἐμαρτύρετο καὶ ἀρὰς
having-run the same(-things) shouted and gods called-to-witness and curses
ἠρᾶτο πάσας καὶ ἐς δίκην ἐλθεῖν προυκαλεῖτο. οὐδενὸς δὲ
cursed all and to trial to-come challenged no-one and
προϊόντος, "ἐν τοῖς φίλοις", ἔφη, "δέχομαι τοῖς σοῖς
coming-forth among the friends he-said I-accept by-the your(-friends)
κριθῆναι", καὶ εἰπὼν ἐπέτρεχεν ἔσω. κωλυθεὶς δὲ
to-be-judged and having-said tried-to-run inside having-been-prevented and
αὖθις ᾤμωζε καὶ ἐλοιδορεῖτο αὐτῷ καὶ τοῖς περὶ θύρας
again wailed and reviled him and at-the(-men) about the-doors
ἠγανάκτει κωλύουσι τὸν Ἀντώνιον ἐλεγχθῆναι. ἀπιών τε
was-indignant preventing — Antony to-be-tested going-away and
τὸν δῆμον ἐμαρτύρετο, εἴ τι πάθοι, πρὸς Ἀντωνίου
the people called-to-witness if anything be-should-suffer by Antony
δολοφονεῖσθαι. λεγομένων δὲ τῶνδε σὺν πάθει πολλῷ
to-be-murdered-by-treachery being-said and these-things with feeling great
μετέπιπτε τὸ πλῆθος, καί τις αὐτοῖς τῆς πρὶν δόξης
changed-over the multitude and some to-them of-the former opinion
μετάνοια ἐνεγίγνετο. εἰσὶ δὲ οἳ καὶ τότε ἀπιστοῦντες
change-of-mind arose there-are and who even then disbelieving
ὤκνουν ἑκατέρῳ τὸ πιστὸν νέμειν, καί τινες ὑπόκρισιν ἀμφοῖν
hesitated to-either the trust to-assign and some pretense of-both
τὰ γιγνόμενα διέβαλλον εἶναι, συνθεμένων μὲν ἄρτι ἐν
the(-things) happening alleged to-be having-agreed indeed just-now in

ἱερῷ, μηχανωμένων δὲ ταῦτα ἐπὶ τοὺς ἐχθρούς. οἱ δὲ
temple contriving and these-things against the enemies others and
αὐτὰ τὸν Ἀντώνιον ἡγοῦντο ἐπινοεῖν εἰς ἀφορμὴν φρουρᾶς
them — Antony thought to-devise for pretext of-guard
πλείονος ἢ ἐς ἀλλοτρίωσιν τῶν κληρουχιῶν Καίσαρι.
greater or for estrangement of-the colonies from-Caesar
40 ὡς δὲ τῷ Καίσαρι ὑπὸ τῶν κρύφα ἀπεσταλμένων
when and — to-Caesar by the(-men) secretly sent
ἀπηγγέλθη τὸν ἐν Βρεντεσίῳ στρατὸν καὶ τοὺς
it-was-reported the at Brundisium army and the
ἀπῳκισμένους ἐν ὀργῇ τὸν Ἀντώνιον ἔχειν, ἀμελοῦντα τοῦ
colonists in anger — Antony to-hold neglecting —
Καίσαρος φόνου, καὶ σφᾶς ἐπικουρήσειν, ἂν δύνωνται,
of-Caesar murder and themselves to-be-going-to-help if they-can
ὁ μὲν Ἀντώνιος ἐς τὸ Βρεντέσιον ἐξῄει διὰ τάδε.
— indeed Antony to — Brundisium went-out for these-things
δείσας δὲ ὁ Καῖσαρ, μὴ μετὰ τῆς στρατιᾶς ἐπανελθὼν
having-feared and — Caesar lest with the army having-returned
ἀφρούρητον αὑτὸν λάβοι, χρήματα φέρων εἰς Καμπανίαν
unguarded himself he-might-take money carrying to Campania
ᾔει, πείσων τὰς πόλεις οἱ στρατεύεσθαι, τὰς ὑπὸ τοῦ
went to-persuade the cities for-him to-serve the(-ones) by the
πατρὸς ᾠκισμένας. καὶ ἔπεισε Καλατίαν πρώτην, ἐπὶ δ'
father settled and persuaded Calatia first after and
ἐκείνῃ Κασιλῖνον, δύο τάσδε Καπύης ἑκατέρωθεν· ἐπιδοὺς
it Casilinum two these of-Capua on-either-side having-given
δ' ἑκάστῳ δραχμὰς πεντακοσίας ἦγεν ἐς μυρίους
and to-each drachmas five-hundred he-led about ten-thousand
ἄνδρας, οὔτε ὡπλισμένους ἐντελῶς οὔτε συντεταγμένους
men neither armed completely nor organized
πω κατὰ ἴλας, ἀλλ' ὡς ἐς μόνην τοῦ σώματος φυλακήν,
yet by squadrons but as for alone of-the person guard

ὑφ᾽ ἑνὶ σημείῳ. οἱ δὲ ἐν ἄστει τὸν Ἀντώνιον δεδιότες
under one standard the(-men) and in city — Antony fearing
μετὰ στρατιᾶς ἐπανιόντα, ὡς ἐπύθοντο καὶ τὸν Καίσαρα
with army returning when they-learned also — Caesar
μεθ᾽ ἑτέρας προσιέναι, οἳ μὲν διπλασίως ἐδεδοίκεσαν, οἳ
with another approaching some indeed doubly feared others
δ᾽ ὡς χρησόμενοι κατ᾽ Ἀντωνίου Καίσαρι ἠσμένιζον· οἱ
and as going-to-use against Antony with-Caesar welcomed others
δὲ αὐτῶν τὰς ἐν τῷ Καπιτωλίῳ διαλλαγὰς ἑωρακότες
and of-them the in — Capitol reconciliations having-seen
ὑπόκρισιν ἐνόμιζον εἶναι τὰ γιγνόμενα καὶ ἀντίδοσιν
pretense thought to-be the(-things) happening and an-exchange
Ἀντωνίῳ μὲν δυναστείας, Καίσαρι δὲ τῶν φονέων.
for-Antony indeed of-power for-Caesar and of-the murderers
ὧδε δὲ αὐτῶν θορυβουμένων, Καννούτιος ὁ δήμαρχος, 41
thus and them being-in-uproar Cannutius the tribune
ἐχθρὸς ὢν Ἀντωνίῳ καὶ παρ᾽ αὐτὸ Καίσαρι φίλος,
enemy being to-Antony and for that-very(-reason) to-Caesar friend
ὑπήντα τῷ Καίσαρι καὶ τὴν γνώμην ἐκμαθὼν ἀπήγγελλε
went-to-meet — Caesar and the purpose having-learned reported
τῷ δήμῳ, μετ᾽ ἔχθρας Ἀντωνίου σαφοῦς ἐπιέναι τὸν
to-the people with enmity of-Antony evident to-be-approaching —
Καίσαρα καὶ χρῆναι δεδιότας Ἀντώνιον ἐπὶ τυραννίδι
Caesar and to-be-necessary fearing Antony on tyranny
τόνδε προσεταιρίσασθαι, στρατὸν ἄλλον οὐκ ἔχοντας
this(-man) to-take-as-comrade army other not having
ἐν τῷ παρόντι. ταῦτα δ᾽ εἰπὼν ἐσῆγε τὸν Καίσαρα,
in the present these-things and having-said brought-in — Caesar
αὐλισάμενον πρὸ τοῦ ἄστεος ἀπὸ σταδίων πεντεκαίδεκα
having-encamped before the city at stades fifteen
ἐν τῷ τοῦ Ἄρεως ἱερῷ. ὡς δὲ εἰσῆλθον, ὁ μὲν εἰς τὸν
in the — of-Ares temple when and they-entered he indeed into the

νεὼν τῶν Διοσκούρων παρῆλθε, καὶ τὸν νεὼν περιέστησαν
temple of-the Dioscuri went and the temple surrounded
οἱ στρατευόμενοι ξιφίδια ἀφανῶς περιεζωσμένοι,
the(-men) serving daggers secretly having-girded-on
Καννούτιος δὲ πρότερον ἐδημηγόρει κατὰ τοῦ Ἀντωνίου.
Cannutius and first harangued against — Antony
ὁ δὲ Καῖσαρ καὶ τοῦ πατρὸς αὐτοὺς ὑπεμίμνησκε καὶ
— and Caesar also of-the father them reminded and
ὧν αὐτὸς ὑπὸ Ἀντωνίου πάθοι, δι' ἃ καὶ τόνδε
of-what himself by Antony had-suffered because-of which also this
τὸν στρατὸν ἐς φυλακὴν εἴη συνειλεγμένος· ἔφη τε ἐς
the army for guard might-be collected he-said and in
πάντα τῆς πατρίδος ὑπηρέτης καὶ κατήκοος ἔσεσθαι
all(-things) of-the fatherland servant and subject to-be-going-to-be
καὶ ἐς τὰ νῦν πρὸς Ἀντώνιον ἕτοιμος.
and in the now(-matters) against Antony ready
42 ὧδε δ' εἰπόντος αὐτοῦ καὶ τὴν ἐκκλησίαν διαλύσαντος ἐπὶ
thus and having-spoken he and the assembly having-dismissed at
τῷδε, ὁ στρατὸς ἡγούμενος ἐς τὸ ἐναντίον ἐπὶ διαλλαγαῖς
this the army thinking to the contrary for reconciliation
Ἀντωνίου τε καὶ Καίσαρος ἀφῖχθαι ἢ ἐς μόνην γε
of-Antony both and of-Caesar to-have-come or for only at-least
φυλακὴν τοῦ Καίσαρος καὶ τῶν φονέων ἄμυναν, ἤχθοντο
guard — of-Caesar and of-the murderers vengeance were-vexed
τῇ κατ' Ἀντωνίου προαγορεύσει, στρατηγοῦ τε σφῶν
at-the against Antony proclamation general both of-them
γεγονότος καὶ ὄντος ὑπάτου· καὶ οἳ μὲν αὐτῶν ἐπανελθεῖν
having-been and being consul and some indeed of-them to-go-back
ᾔτουν εἰς τὰ οἰκεῖα ὡς ὁπλιούμενοι· οὐ γὰρ ἄλλων
asked to the homes as going-to-arm(-themselves) not for other
ἢ τῶν ἰδίων ὅπλων ἀνέξεσθαι· οἳ δὲ καὶ τὸ ἀληθὲς
than the own arms to-be-going-to-bear others and even the truth

ὑπέφαινον. ὁ δὲ Καῖσαρ ἠπόρητο μὲν ἐς τὸ ἐναντίον
hinted — and Caesar was-at-a-loss indeed to the contrary
ὧν προσεδόκησε μετενεχθείς, ἐλπίσας δ' αὐτῶν πειθοῖ
of-what he-expected having-been-turned having-hoped and them by-persuasion
μᾶλλον ἢ βίᾳ περιέσεσθαι, συνεχώρει ταῖς προφάσεσι καὶ
rather than by-force to-prevail yielded to-the pretexts and
τοὺς μὲν ἐπὶ τὰ ὅπλα ἔπεμπε, τοὺς δὲ ἁπλῶς ἐς τὰ
the(-ones) indeed for the arms sent the(-others) and simply to the
οἰκεῖα. πάντας δ', ἐπικρύπτων τὴν ἀχθηδόνα, ἐπῄνει τῆς
homes all and concealing the vexation praised(-them) for-the
συνόδου καὶ ἐδωρεῖτο ἑτέραις δωρεαῖς καὶ δαψιλέστερον
meeting and rewarded(-them) with-other gifts and more-lavishly
ἔτι ἀμείψεσθαι ἔλεγεν, αἰεὶ χρώμενος ἐς τὰ ἐπείγοντα ὡς
still to-be-going-to-requite said always using(-them) for the pressing(-needs) as
πατρικοῖς φίλοις μᾶλλον ἢ στρατιώταις. χιλίους μὲν δὴ
paternal friends rather than soldiers a-thousand indeed indeed
μόνους ἢ τρισχιλίους τάδε λέγων ἐπέκλασεν ἐκ μυρίων
only or three-thousand these-things saying he-swayed of ten-thousand
οἱ παραμεῖναι (διαφέρονται γὰρ περὶ τοῦ ἀριθμοῦ)· οἱ
to-him to-remain they-differ for about the number the
δὲ λοιποὶ τότε μὲν ἐξῄεσαν, ἀνεμιμνήσκοντο δ' αὐτίκα
and rest then indeed went-away remembered but at-once
γεωργίας τε πόνων καὶ κερδῶν στρατείας καὶ λόγων
of-farming both of-toils and of-gains of-service and of-words
τῶν Καίσαρος καὶ εὐπειθείας αὐτοῦ, πρὸς ἃ ἐβούλοντο,
of-the of-Caesar and of-compliance of-him to what they-wished
καὶ χαρίτων, ὧν τε εἰλήφεσαν καὶ ὧν ἤλπιζον ἔτι
and of-favors which both they-had-received and which they-hoped still
λήψεσθαι. οἷόν τε ὄχλος ἀνώμαλος μετενόουν καὶ τῆς
to-be-going-to-receive such-as both a-crowd fickle they-repented and the
προφάσεως ἐς εὐπρέπειαν ἐπιβαίνοντες ὡπλίζοντο καὶ πρὸς
pretext for show seizing-upon armed(-themselves) and to

αὐτὸν ἐπανήεσαν. ὁ δὲ ἤδη μετὰ χρημάτων ἄλλων τήν
him returned he and already with money other —
τε Ῥάβενναν καὶ τὰ ἀγχοῦ πάντα περιήει, στρατεύων
both Ravenna and the(-places) near all went-round enlisting
ἑτέρους ἐφ' ἑτέροις· καὶ πάντας ἐς Ἀρρήτιον ἔπεμπεν.
others upon others and all to Arretium sent

VII · THE LEGIONS DIVIDE

At Brundisium the Macedonian legions jeer at Antony's offer of a hundred drachmas; he puts to death by lot some of a tenth of the mutineers, and Octavian's agents scatter pamphlets in the camp. Antony relents, but on the march the Martian and Fourth legions go over to Octavian. Antony, after a brief senate meeting, swears in his troops at Tibur, where the senate and knights come to honor him, and marches to Ariminum. The senate praises the legions but defers its decision; Octavian's soldiers offer him the fasces, which he declines.

43 Ἀντωνίῳ δ' ἀφῖκτο μέσον ἐς τὸ Βρεντέσιον ἐκ πέντε τῶν
for-Antony and had-come half to — Brundisium of five of-the
ἐν Μακεδονίᾳ τελῶν τέσσαρα· ἐπιμεμφόμενοι δ' αὐτὸν οὐκ
in Macedonia legions four reproaching and him not
ἐπεξελθόντα τῷ φόνῳ Καίσαρος, χωρὶς εὐφημίας ἐς τὸ βῆμα
having-pursued the murder of-Caesar without acclamation to the tribunal
παρέπεμπον ὡς περὶ τοῦδε σφίσιν ἐκλογιούμενον πρώτου.
escorted(-him) as about this to-them going-to-render-account first
ὁ δὲ αὐτοῖς χαλεπτόμενος τῆς σιωπῆς οὐ κατέσχεν,
he and with-them being-angered at-the silence not restrained(-himself)
ἀλλ' ὠνείδιζεν ἀχαριστίαν ἐκ Παρθυαίων ὑπὸ οὗ
but reproached(-them) for-ingratitude from Parthians by whom
μετενεχθεῖσιν ἐς τὴν Ἰταλίαν καὶ οὐκ ἐπιμαρτυροῦσι τοιᾶσδε
having-been-transferred to — Italy and not acknowledging such

χάριτος· ἐμέμφετο δὲ καὶ ὅτι παρὰ μειρακίου προπετοῦς,
favor he-blamed(-them) and also that from a-stripling rash
ὧδε τὸν Καίσαρα καλῶν, ἄνδρας ἐπιπεμπομένους σφίσιν
so — Caesar calling(-him) men sent-among them
εἰς διαφθορὰν οὐκ αὐτοὶ προσάγουσιν αὐτῷ. ἀλλὰ τούσδε
for corruption not themselves bring to-him but these(-men)
μὲν αὐτὸς εὑρήσειν, τὸν δὲ στρατὸν ἄξειν ἐπὶ τὴν
indeed himself would-find the and army would-lead to the
ἐψηφισμένην οἱ χώραν εὐδαίμονα Κελτικήν, καὶ τοῖς
voted to-him country prosperous Celtica and to-the(-men)
παροῦσιν ἑκάστῳ δοθήσεσθαι δραχμὰς ἑκατόν. οἳ δὲ
present to-each would-be-given drachmas a-hundred they and
ἐγέλασαν τῆς σμικρολογίας καὶ χαλεπήναντος αὐτοῦ
laughed at-the meanness and having-been-angry him
μᾶλλον ἐθορύβουν καὶ διεδίδρασκον. ὃ δὲ ἐξανέστη
more they-were-in-uproar and ran-off he and rose-up
τοσοῦτον εἰπών· "μαθήσεσθε ἄρχεσθαι". αἰτήσας δὲ παρὰ
so-much having-said you-will-learn to-be-ruled having-asked and from
τῶν χιλιάρχων τοὺς στασιώδεις (ἀνάγραπτος γάρ ἐστιν ἐν
the tribunes the seditious(-men) registered for is in
τοῖς Ῥωμαίων στρατοῖς αἰεὶ καθ' ἕνα ἄνδρα ὁ τρόπος)
the of-Romans armies always by one man the character
διεκλήρωσε τῷ στρατιωτικῷ νόμῳ καὶ οὐ τὸ δέκατον
he-chose-by-lot by-the military law and not the tenth
ἅπαν, ἀλλὰ μέρος ἔκτεινε τοῦ δεκάτου, νομίζων σφᾶς
whole but a-part killed of-the tenth thinking them
ὧδε καταπλήξειν δι' ὀλίγου. οἳ δὲ οὐκ ἐς φόβον μᾶλλον
thus to-be-going-to-terrify in short(-time) they but not to fear rather
ἢ ἐς ὀργὴν ἀπὸ τοῦδε καὶ μῖσος ἐτρέποντο.
than to anger from this and hatred turned

44 ταῦτα δ' ὁρῶντες οὓς ὁ Καῖσαρ ἐπὶ διαφθορᾷ τῶνδε
these-things and seeing (those)-whom — Caesar for corruption of-these
προπεπόμφει, βιβλία πολλὰ τότε μάλιστα διερρίπτουν ἐς
had-sent-ahead pamphlets many then most scattered into
τὸ στρατόπεδον, ἀντὶ τῆς Ἀντωνίου μικρολογίας τε καὶ
the camp instead-of the of-Antony meanness both and
ὠμότητος ἐς τὴν Καίσαρος μνήμην τοῦ προτέρου καὶ
cruelty to the of-Caesar memory of-the former and
βοήθειαν τοῦ νῦν καὶ χορηγίας δαψιλεῖς μετατίθεσθαι. οὓς
help of-the present and largesses lavish to-change whom
ὁ Ἀντώνιος μηνύμασί τε μεγάλοις ἐζήτει, καὶ ἀπειλαῖς,
— Antony with-rewards both great sought and with-threats
εἴ τις ἐπικρύπτοι. οὐδένα δὲ συλλαβὼν ἐχαλέπηνεν
if anyone should-conceal(-them) no-one and having-seized was-angered
ὡς τοῦ στρατοῦ σφᾶς ἐπικρύπτοντος. ἀπαγγελλομένων
as the army them concealing being-reported
δὲ καὶ τῶν ἐν ταῖς ἀποικίαις τε καὶ ἐν Ῥώμῃ
and also the(-things) in the colonies both and in Rome
Καίσαρι πεπραγμένων ἐθορυβεῖτο. καὶ ἐπελθὼν αὖθις ἐπὶ
by-Caesar done he-was-troubled and having-come again to
τὸν στρατὸν ἔφη χαλεπῆναι μὲν τῶν γεγονότων
the army he-said to-have-been-vexed indeed at-the(-things) having-happened
ὑπὸ ἀνάγκης στρατιωτικῆς ὀλίγοις ἀντὶ πλεόνων ὧν
by necessity military on-few instead-of more whom
ἐκόλαζεν ὁ νόμος, αὐτοὺς δὲ εἰδέναι σαφῶς οὔτε ὠμὸν
punished the law them but to-know clearly neither cruel
οὔτε μικρολόγον Ἀντώνιον. "ἀλλ' ὁ μὲν φθόνος οἰχέσθω,
nor mean Antony but the indeed envy let-it-be-gone
κεκορεσμένος", ἔφη, "καὶ τοῖς ἁμαρτήμασι καὶ ταῖς
glutted he-said and with-the offenses and with-the
κολάσεσι· τὰς δὲ ἑκατὸν δραχμὰς ὑμῖν οὐ δωρεάν (οὐ
punishments the but hundred drachmas to-you not as-a-gift not

γὰρ τοῦτό γε τῆς Ἀντωνίου τύχης), ἀλλὰ τῆς πρώτης
for this at-least of-the of-Antony fortune but of-the first
ἐς ὑμᾶς ἐντεύξεως προσαγορευτικὸν μᾶλλον ἐκέλευσα
toward you meeting a-greeting rather I-ordered
δοθῆναι, καὶ χρὴ νόμῳ πατρίῳ τε καὶ στρατιωτικῷ
to-be-given and it-is-needful by-law ancestral both and military
καὶ ἐς τάδε αὐτῷ καὶ ἐς πάντα εὐπειθεῖς ὑπάρχειν". ὃ
both in these-things for-him and in all obedient to-be he
μὲν οὕτως εἶπεν, οὐδέν τι ἔτι προσθεὶς τῇ δωρεᾷ τοῦ
indeed so spoke nothing at-all further having-added to-the gift of-the
μὴ δοκεῖν ὁ στρατηγὸς ἡσσῆσθαι τοῦ στρατοῦ· οἳ
not to-seem the general to-have-been-defeated by-the army they
δὲ ἐλάμβανον, εἴτε μεταγνόντες εἴτε καὶ δεδιότες.
and took(-it) whether having-changed-their-minds or also fearing
ὃ δὲ αὐτῶν τοὺς μὲν ταξιάρχους, εἴτε μηνίων ἔτι τῆς
he and of-them the indeed officers whether resenting still the
στάσεως εἴθ' ἑτέρως ὑπονοῶν, ἐνήλλασσε, τοὺς δὲ λοιποὺς
sedition or otherwise suspecting changed the and rest
καὶ τἆλλα ἐν ταῖς χρείαις ἐδεξιοῦτο καὶ προύπεμπεν ἀνὰ
also otherwise in the needs treated-kindly and sent-ahead by
μέρος τὴν παραθαλάσσιον ὁδεύειν ἐπὶ Ἀριμίνου.
part the coastal(-road) to-march to Ariminum
αὐτὸς δ' ἐπιλεξάμενος ἐκ πάντων στρατηγίδα σπεῖραν 45
himself and having-picked from all a-praetorian cohort
ἀνδρῶν ἀρίστων τά τε σώματα καὶ τὸν τρόπον ὥδευεν ἐς
of-men best the both bodies and the character marched to
Ῥώμην ὡς ἐκεῖθεν ἐπὶ τὸ Ἀρίμινον ὁρμήσων. ἐσήει δὲ
Rome as from-there to — Ariminum going-to-set-out he-entered and
ἐς τὴν πόλιν σοβαρῶς, τὴν μὲν ἴλην πρὸ τοῦ ἄστεος
into the city haughtily the indeed squadron before the city
στρατοπεδεύσας, τοὺς δ' ἀμφ' αὐτὸν ἔχων ὑπεζωσμένους
having-encamped the(-men) and around himself having girded

καὶ τὴν οἰκίαν νυκτοφυλακοῦντας ἐνόπλους· συνθήματά τε
and the house guarding-by-night armed watchwords both
αὐτοῖς ἐδίδοτο, καὶ αἱ φυλακαὶ παρὰ μέρος ἦσαν ὡς ἐν
to-them were-given and the watches by turn were as in
στρατοπέδῳ. συναγαγὼν δὲ τὴν βουλὴν ὡς μεμψόμενος
a-camp having-assembled and the senate as going-to-complain
Καίσαρι περὶ τῶν πεπραγμένων, ἐσιὼν ἤδη μανθάνει
to-Caesar about the(-things) done entering already he-learns
τῶν τεσσάρων τελῶν τὸ καλούμενον Ἄρειον κατὰ τὴν
of-the four legions the called Martian on the
ὁδὸν ἐς Καίσαρα μετατεθεῖσθαι. καὶ αὐτῷ τὴν εἴσοδον
road to Caesar to-have-gone-over and to-him the entrance
ἐπισχόντι τε καὶ διαποροῦντι ἀγγέλλεται καὶ τὸ καλούμενον
checking both and being-at-a-loss it-is-reported also the called
τέταρτον ὁμοίως τοῖς Ἀρείοις ἐς Καίσαρα μετατεθεῖσθαι.
fourth like to-the Martians to Caesar to-have-gone-over
διαταραχθεὶς οὖν εἰσῆλθε μὲν ἐς τὸ βουλευτήριον, ὡς
having-been-confounded then he-entered indeed into the senate-house as
δ' ἐφ' ἕτερα αὐτοὺς συναγαγὼν μικρὰ διελέχθη καὶ
and on other(-matters) them having-assembled few(-things) he-talked and
εὐθὺς ἐπὶ τὰς πύλας ἐχώρει καὶ ἀπὸ τῶν πυλῶν ἐπὶ Ἄλβην
at-once to the gates went and from the gates to Alba
πόλιν ὡς μεταπείσων τοὺς ἀποστάντας. βαλλόμενος
city as going-to-win-back the(-men) having-revolted being-pelted
δ' ἀπὸ τοῦ τείχους ἀνέστρεφε καὶ τοῖς ἄλλοις τέλεσι
and from the wall he-turned-back and to-the other legions
προσέπεμπεν ἀνὰ πεντακοσίας δραχμὰς ἑκάστῳ, καὶ
sent at-the-rate-of five-hundred drachmas to-each(-man) and
σὺν οἷς εἶχεν αὐτὸς ἐς Τίβυρον ἐξῄει, σκευὴν ἔχων τὴν
with whom he-had himself to Tibur went-out equipment having the

συνήθη τοῖς ἐπὶ τοὺς πολέμους ἐξιοῦσι· καὶ γὰρ ἤδη
customary for-the(-men) to the wars going-out and for already
σαφὴς ἦν ὁ πόλεμος, Δέκμου τὴν Κελτικὴν οὐ μεθιέντος.
plain was the war Decimus — Celtica not letting-go
δεῦρο δὲ ὄντι ᾗ τε βουλὴ σχεδὸν ἅπασα καὶ τῶν 46
here and to-(him)-being the both senate nearly all and of-the
ἱππέων τὸ πλεῖστον ἀφίκετο ἐπὶ τιμῇ καὶ ἀπὸ τοῦ δήμου
knights the most came for honor and from the people
τὸ ἀξιολογώτατον· οἳ καὶ καταλαβόντες αὐτὸν ὁρκοῦντα
the most-notable who also having-found him swearing-in
τοὺς παρόντας οἱ στρατιώτας καὶ τοὺς ἐκ τῶν
the present for-him soldiers and the(-men) from the(-men)
πάλαι στρατευσαμένων συνδραμόντας (πολὺ γὰρ καὶ
long-ago having-served having-run-together much for also
τοῦτο ἦν) συνώμνυον ἑκόντες οὐκ ἐκλείψειν τὴν ἐς
this was swore-together willingly not to-be-going-to-abandon the toward
Ἀντώνιον εὔνοιάν τε καὶ πίστιν, ὡς ἀπορῆσαι, τίνες
Antony goodwill both and fidelity so-that to-be-at-a-loss who
ἦσαν, οἳ πρὸ ὀλίγου παρὰ τὴν Καίσαρος ἐκκλησίαν τὸν
were who before little(-time) at the of-Caesar assembly —
Ἀντώνιον ἐβλασφήμουν. ὃ μὲν δὴ λαμπρῶς οὕτως ἐς τὸ
Antony reviled he indeed indeed brilliantly thus to —
Ἀρίμινον προεπέμπετο, ὅθεν ἐστὶν ἡ τῆς Κελτικῆς ἀρχή.
Ariminum was-escorted whence is the — of-Celtica beginning
καὶ ὁ στρατὸς ἦν αὐτῷ, χωρίς γε τῶν νεολέκτων,
and the army was to-him apart at-least from-the new-recruits
τρία τέλη τὰ ἐκ Μακεδονίας μετάπεμπτα (ἤδη γὰρ
three legions the(-ones) from Macedonia summoned already for
αὐτῷ καὶ τὸ λοιπὸν ἀφῖκτο), ἐξεστρατευμένων δὲ ἕν, οἳ
to-him also the rest had-come of-(men)-having-served and one who
καὶ γηρῶντες ὅμως ἐδόκουν νεοσυλλόγων ἀμείνους ἐς
even growing-old nevertheless seemed than-new-levies better to

τὸ διπλάσιον εἶναι. οὕτω μὲν Ἀντωνίῳ τέσσαρα ἐγίγνετο
the double to-be thus indeed for-Antony four were
τέλη γεγυμνασμένων ἀνδρῶν καὶ ὅσον ἐξ ἔθους αὐτοῖς
legions of-trained men and as-much-as from custom to-them
ἐπίκουρον ἄλλο ἕπεται, καὶ ἡ τοῦ σώματος φρουρὰ
auxiliary other follows and the of-the person guard
καὶ τὰ νεόλεκτα. Λέπιδός τε ἔχων ἐν Ἰβηρίᾳ τέσσαρα
and the new-recruits Lepidus both having in Iberia four
τέλη καὶ Ἀσίνιος Πολλίων δύο καὶ Πλάγκος ἐν τῇ ἑτέρᾳ
legions and Asinius Pollio two and Plancus in the other
Κελτικῇ τρία, ἐδόκουν αἱρήσεσθαι τὰ Ἀντωνίου.
Celtica three seemed to-be-going-to-choose the(-side) of-Antony
47 Καίσαρι δὲ ἦν δύο μὲν ὁμοίως ἀξιολογώτατα, τὰ
for-Caesar and there-were two indeed likewise most-notable the(-legions)
ἐς αὐτὸν ἀπὸ τοῦ Ἀντωνίου μεταστάντα, ἓν δὲ νεοσυλλόγων,
to him from — Antony having-gone-over one and of-new-levies
δύο δὲ ἐκ τῶν πρότερον ἐστρατευμένων, οὐκ ἐντελῆ
two and from the(-men) earlier having-served not complete
μὲν ταῦτα τοῖς ἀριθμοῖς οὐδὲ ταῖς ὁπλίσεσιν, ὑπὸ δὲ τῶν
indeed these in-the numbers nor in-the arms by and the
νεοσυλλόγων καὶ ταῦτα ἀναπληρούμενα. συναγαγὼν δ'
new-levies also these being-filled-up having-gathered and
ἅπαντας ἐς Ἄλβην ἐπέστελλε τῇ βουλῇ. ἣ δὲ ἐφήδετο
all to Alba he-wrote to-the senate it and rejoiced
μὲν αὖθις Καίσαρι, ὡς ἀπορεῖν καὶ τότε, τίνες ἦσαν, οἳ
indeed again at-Caesar so-that to-be-at-a-loss also then who were who
προύπεμπον Ἀντώνιον· ἤχθοντο δὲ τοῖς τέλεσιν οὐκ ἐς τὴν
escorted Antony was-vexed but at-the legions not to the
βουλήν, ἀλλ' ἐς τὸν Καίσαρα μετελθοῦσιν. ἐπαινέσαντες
senate but to — Caesar having-gone-over having-praised
δ' ὅμως αὐτούς τε καὶ τὸν Καίσαρα, ἔφασαν ὀλίγον
but nevertheless them both and — Caesar they-said little

ὕστερον ὅ τι χρὴ ποιεῖν αὐτοὺς ψηφιεῖσθαι, ὅταν
later what (thing) is-needful to-do them they-would-vote whenever
αὐτοῖς αἱ νέαι ἀρχαὶ ἐς τὰ πράγματα παρέλθωσιν. ἦν
for-them the new magistrates into the affairs should-come it-was
δὲ σαφές, ὅτι χρήσονται μὲν αὐτοῖς κατὰ Ἀντωνίου·
and plain that they-will-use indeed them against Antony
στρατὸν δὲ οὐδένα πω ἔχοντες ἴδιον οὐδὲ καταλέξαι χωρὶς
army but none yet having own nor to-enroll without
ὑπάτων δυνάμενοι ἐς τὰς νέας ἀρχὰς πάντα ἀνετίθεντο.
consuls being-able to the new magistrates everything referred
τῷ Καίσαρι δ' ὁ στρατὸς πελέκεάς τε καὶ ῥαβδοφόρους 48
— *to-Caesar and the army axes both and lictors*
ἐσκευασμένους προσαγαγόντες, ἠξίουν ἑαυτὸν ἀντιστράτηγον
equipped having-brought asked himself propraetor
ἀποφῆναι, πολέμου τε ἡγεμονεύοντα καὶ σφῶν αἰεὶ ὑπ'
to-declare of-war both leading and of-them always under
ἄρχουσι ταχθέντων. ὁ δὲ τὴν μὲν τιμὴν ἐπῄνει, τὸ δὲ
magistrates ranked he but the indeed honor praised the but
ἔργον ἐς τὴν βουλὴν ἀνετίθετο· καὶ βουλομένους ἐπὶ τοῦτο
matter to the senate referred and wishing to this
χωρεῖν ἀθρόους ἐκώλυε καὶ πρεσβευομένους ἐπεῖχεν,
to-go in-a-body prevented(-them) and sending-embassies held-back
ὡς καὶ τῆς βουλῆς ψηφιουμένης ταῦτα καθ' ἑαυτήν, καὶ
as also the senate going-to-vote these-things by itself and
μᾶλλον, ἢν αἴσθωνται τὴν ὑμετέραν προθυμίαν καὶ τὸν ἐμὸν
more if they-perceive the your eagerness and the my
ὄκνον. διαλυθέντων δὲ μόλις οὕτω καὶ τῶν ἡγεμόνων
hesitation having-been-dispersed and with-difficulty thus and the leaders
ἐς ὑπεροψίαν αὐτὸν αἰτιωμένων, ἐξελογεῖτο αὐτοῖς τὴν
into contempt him blaming he-explained to-them the
βουλὴν οὐκ εὐνοίᾳ πρὸς αὑτὸν ἀποκλίνειν μᾶλλον ἢ

Ἀντωνίου δέει καὶ στρατιᾶς ἀπορίᾳ, "μέχρι καθέλωμεν
of-Antony by-fear and of-army by-lack until we-destroy
ἡμεῖς Ἀντώνιον καὶ οἱ σφαγεῖς φίλοι τε τῇ βουλῇ
we Antony and the slayers friends both to-the senate
καὶ συγγενεῖς ὄντες δύναμιν αὐτοῖς συναγάγωσιν· ὧν
and kinsmen being an-army for-them gather of-which
αἰσθανόμενος ὑπηρετεῖν ὑποκρίνομαι. μὴ δὴ πρότεροι
perceiving to-serve I-pretend not indeed first
τὴν ὑπόκρισιν ἀποκαλύπτωμεν, ὡς προλαβοῦσι μὲν ἡμῖν
the pretense let-us-uncover so-that having-anticipated indeed us
τὴν ἀρχὴν ἐπικαλέσουσιν ὕβριν ἢ βίαν, αἰδεσθεῖσι δ'
the office they-will-charge insolence or violence having-shown-respect but
ἴσως ἐπιδώσουσιν αὐτοὶ δέει, μὴ παρ' ὑμῶν λάβωμι".
perhaps will-give(-it) themselves for-fear lest from you I-should-receive(-it)
τοιάδε εἰπὼν ἐθεᾶτο γυμνάσια τῶν δύο τελῶν τῶν
such(-words) having-said he-watched exercises of-the two legions of-the(-ones)
αὐτομολησάντων ἀπ' Ἀντωνίου, διαστάντων τε ἐς ἀλλήλους
having-deserted from Antony having-divided both into one-another
καὶ δρώντων ἀφειδῶς ἔργα πολέμου πάντα πλὴν ἐς μόνον
and doing unsparingly works of-war all except to only
θάνατον. ἡσθεὶς οὖν τῇ θέᾳ καὶ τῆς προφάσεως
death having-been-pleased then at-the spectacle and the pretext
ἐπιβαίνων ἄσμενος, ἑτέρας αὐτῶν ἑκάστῳ πεντακοσίας
seizing-upon gladly other of-them to-each five-hundred
δραχμὰς ἐπεδίδου καί, εἴ τις πολέμου χρεία γένοιτο,
drachmas he-gave and if any of-war need should-arise
νικήσασιν ἐπηγγέλλετο πεντακισχιλίας. ὧδε μὲν ὁ
to-(them)-having-conquered he-promised five-thousand thus indeed —
Καῖσαρ δαψιλείᾳ δωρεῶν τοὺς μισθοφόρους ἐκρατύνετο.
Caesar with-lavishness of-gifts the mercenaries strengthened

Decimus refuses to give up Cisalpine Gaul and is besieged at Mutina. In Rome the new consuls Hirtius and Pansa convene the senate; Cicero demands that Antony be declared an enemy, but Salvius' veto and the pleas of Antony's family delay it, and honors are voted to Octavian. Cicero denounces Antony; Piso answers, defending each charge, and averts the vote. The senate offers Antony Macedonia, Cicero drafts harsh terms for the envoys, Dolabella is declared an enemy for Trebonius' murder, and when Antony refuses, so is he; Brutus and Cassius receive the East.

καὶ τάδε μὲν ἦν ἀνὰ τὴν Ἰταλίαν, ἐν δὲ τῇ Κελτικῇ 49
and these-things indeed were throughout — Italy in and — Celtica
τὸν Δέκμον ὁ Ἀντώνιος ἐκέλευσεν ἐς Μακεδονίαν μετιέναι,
— Decimus — Antony ordered to Macedonia to-withdraw
πειθόμενόν τε τῷ δήμῳ καὶ φειδόμενον ἑαυτοῦ. ὃ δὲ
obeying both the people and sparing himself he but
ἀντέπεμπεν αὐτῷ τὰ παρὰ τῆς βουλῆς οἱ κεκομισμένα
sent-back to-him the from the senate to-him brought
γράμματα, ὡς οὐχὶ διὰ τὸν δῆμον εἴκειν οἱ πρέπον
letters as not because-of the people to-yield to-him fitting(-it-was)
ἢ διὰ τὴν βουλὴν Ἀντωνίῳ μᾶλλον. Ἀντωνίου δ' αὐτῷ
than because-of the senate to-Antony rather Antony and for-him
προθεσμίαν ὁρίζοντος, μεθ' ἣν ὡς πολεμίῳ χρήσεται,
a-deadline fixing after which as an-enemy he-would-treat(-him)
μακροτέραν ὁ Δέκμος ἐκέλευεν ὁρίζειν ἑαυτῷ, μὴ θᾶσσον
longer — Decimus urged to-fix for-himself lest sooner
γένοιτο τῇ βουλῇ πολέμιος. καὶ ὁ Ἀντώνιος εὐμαρῶς ἂν
he-should-become to-the senate enemy and — Antony easily —
αὐτοῦ κρατήσας ἔτι ὄντος ἐν πεδίῳ ἐπὶ τὰς πόλεις ἔκρινε
him having-overcome still being in plain against the cities decided
προελθεῖν. αἳ δὲ αὐτὸν ἐδέχοντο. καὶ δείσας ὁ Δέκμος, μὴ
to-advance they and him received and having-feared — Decimus lest

οὐδ' ἐσελθεῖν ἔς τινα αὐτῶν ἔτι δύνηται, πλάσσεται
not-even to-enter into any of-them any-longer he-might-be-able forges
γράμματα τῆς βουλῆς καλούσης αὐτὸν ἐς Ῥώμην σὺν τῷ
letters of-the senate summoning him to Rome with the
στρατῷ· καὶ ἀναζεύξας ἐχώρει τὴν ἐπὶ τῆς Ἰταλίας,
army and having-broken-camp marched the(-road) upon — Italy
ὑποδεχομένων αὐτὸν ὡς ἀπιόντα πάντων, μέχρι Μουτίνην
receiving him as departing all as-far-as Mutina
παροδεύων, πόλιν εὐδαίμονα, τάς τε πύλας ἀπέκλειε
passing-along city prosperous the both gates shut
καὶ τὰ τῶν Μουτιναίων ἐς τὰς τροφὰς συνέφερεν
and the(-goods) of-the Mutinenses for the provisions collected
ὑποζύγιά τε ὅσα ἦν κατέθυε καὶ ἐταρίχευε δέει, μὴ
beasts-of-burden and as-many-as were slaughtered and salted for-fear lest
χρόνιος ἡ πολιορκία γένοιτο, καὶ τὸν Ἀντώνιον ὑπέμενε.
long the siege should-become and — Antony awaited
στρατιὰ δ' ἦν αὐτῷ μονομάχων τε πλῆθος καὶ ὁπλιτῶν
army and was to-him of-gladiators both a-multitude and of-heavy-infantry
τρία τέλη, ὧν ἓν μὲν ἦν ἀρτιστρατεύτων ἀνδρῶν ἔτι
three legions of-which one indeed was of-newly-enlisted men still
ἀπείρων, δύο δέ, ἃ καὶ πρότερον ὑπεστρατευμένα αὐτῷ
inexperienced two and which also earlier having-served-under him
πιστότατα ἦν. ὁ δ' Ἀντώνιος ἐπελθὼν αὐτῷ σὺν
most-faithful were — and Antony having-come-upon him with
ὀργῇ τὴν Μουτίνην ἀπετάφρευέ τε καὶ ἀπετείχιζε.
anger — Mutina trenched-round both and walled-round
καὶ Δέκμος μὲν ἐπολιορκεῖτο, ἐν δὲ τῇ Ῥώμῃ κατὰ τὴν
and Decimus indeed was-besieged in and — Rome at the
ἐτήσιον νουμηνίαν ὕπατοι γενόμενοι Ἵρτιός τε καὶ Πάνσας
annual new-moon consuls having-become Hirtius both and Pansa
τὴν βουλὴν εὐθὺς ἐπὶ ταῖς θυσίαις ἐν αὐτῷ τῷ ἱερῷ συνῆγον
the senate at-once after the sacrifices in itself the temple convened

ἐπὶ Ἀντωνίῳ. Κικέρων μὲν δὴ καὶ οἱ Κικέρωνος φίλοι
about Antony Cicero indeed indeed and the of-Cicero friends
πολέμιον αὐτὸν ἠξίουν ἤδη ψηφίσασθαι, τὴν Κελτικὴν
enemy him thought-fit already to-vote — Celtica
ἀκούσης τῆς βουλῆς ἐς ἐπιτείχισμα τῆς πατρίδος
against-the-will of-the senate for a-fortress-against of-the fatherland
βιαζόμενον ὅπλοις καὶ τὸν ἐπὶ Θρᾳξὰς αὐτῷ δεδομένον
forcing with-arms and the against Thracians to-him given
στρατὸν ἐς τὴν Ἰταλίαν διαγαγόντα· ἐπελέγοντο δὲ καὶ
army to — Italy having-brought-across they-alleged and also
τὴν ἄλλην αὐτοῦ μετὰ Καίσαρα προαίρεσιν, ἔν τε τῇ πόλει
the other of-him after Caesar policy in both the city
φανερῶς δορυφορηθέντος ὑπὸ τοσῶνδε λοχαγῶν καὶ περὶ
openly having-been-guarded by so-many centurions and about
τὴν οἰκίαν ὥσπερ ἄκραν ὅπλοις καὶ συνθήμασι κεχρημένου
the house as-if a-citadel arms and watchwords having-used
καὶ τἆλλα σοβαρωτέρου σφίσι φανέντος ἢ κατὰ τὴν
and in-the-rest more-arrogant to-them having-appeared than according-to the
ἐτήσιον ἀρχήν. Λεύκιος δὲ Πείσων, ὁ τῷ Ἀντωνίῳ τὴν
annual office Lucius and Piso the(-man) — for-Antony the
ἀποδημίαν ἐπιτροπεύων, ἀνὴρ ἐν τοῖς μάλιστα Ῥωμαίων
absence managing a-man among the most of-Romans
ἐπιφανής, ὅσοι τε ἄλλοι τῷ Πείσωνι δι' αὐτὸν ἢ
conspicuous as-many-as both other(-men) — to-Piso through him or
δι' Ἀντώνιον ἢ κατ' οἰκείαν γνώμην προσετίθεντο, καλεῖν
through Antony or by own judgment attached-themselves to-summon
αὐτὸν ἐς κρίσιν ἠξίουν, ὡς οὐ πάτριον σφίσιν ἀκρίτου
him to trial thought-fit as not ancestral for-them unjudged
καταδικάζειν οὐδ' εὐπρεπὲς τοῦ χθὲς ὑπάτου τῆς ἐπιούσης
to-condemn nor seemly the yesterday consul on-the following
ἡμέρας, οὗ γε μάλιστα συνεχεῖς ἐπαίνους ἄλλοι τε
day of-whom at-least most continual praises others both

καὶ Κικέρων αὐτὸς εἶπε πολλάκις. ἡ δὲ βουλὴ τότε μὲν
and Cicero himself spoke often the and senate then indeed
ἀγχώμαλοι ταῖς γνώμαις ἐς νύκτα περιῆλθον, ἅμα δ'
nearly-equal in-the opinions into night went-on together-with and
ἕῳ περὶ τῶν αὐτῶν ἐς τὸ βουλευτήριον συνελέγοντο·
dawn about the same(-matters) into the senate-house they-assembled
ἔνθα τῶν Κικερωνείων ἐπιβαρούντων ἐψηφίστο ἂν
where the Ciceronians pressing-hard would-have-been-voted —
ὁ Ἀντώνιος πολέμιος, εἰ μὴ τῶν δημάρχων Σάλουιος
— Antony enemy if not of-the tribunes Salvius
ἐς τὴν ἐπιοῦσαν ἐκέλευσεν ἀναθέσθαι. ἔστι δὲ ἐν τοῖς
to the following(-day) bade to-put-off it-is and among the
ἄρχουσιν ὁ κωλύων ἀεὶ δυνατώτερος.
magistrates the(-one) preventing always more-powerful
51 οἱ μὲν δὴ Κικερώνειοι καὶ τούτῳ μάλα φορτικῶς ὠνείδιζόν
the indeed indeed Ciceronians and this(-man) very vulgarly reproached
τε καὶ ἐνύβριζον καὶ τὸν δῆμον ἐκδραμόντες ἠρέθιζον
both and insulted and the people having-run-out roused
ἐπ' αὐτὸν καὶ τὸν Σάλουιον ἐς αὐτὸν ἐκάλουν. ὃ δὲ
against him and — Salvius into it called he but
ἀκαταπλήκτως ἐξέτρεχεν, ἕως ἡ βουλὴ κατέσχε δείσασα,
undaunted ran-out until the senate held(-him)-back having-feared
μὴ μεταπείσειε τὸν δῆμον ἐς μνήμην ἀγαγὼν Ἀντωνίου.
lest he-might-change-over the people to memory having-brought of-Antony
οὐ γὰρ ἠγνόουν καταγινώσκοντες ἀνδρὸς ἐπιφανοῦς πρὸ
not for they-were-ignorant condemning a-man conspicuous before
δίκης οὐδ' ὅτι τὴν Κελτικὴν ὁ δῆμος αὐτῷ δεδώκει· ἀλλ'
trial nor that — Celtica the people to-him had-given but
ὑπὲρ τῶν σφαγέων δεδιότες ὠργίζοντο πρώτῳ μετὰ
on-behalf-of the slayers fearing they-were-angry at-(him)-first after
τὴν ἀμνηστίαν ἀνακινήσαντι τὰ κατ' αὐτούς. διὸ
the amnesty having-stirred-up the(-matters) against them wherefore

καὶ τῷ Καίσαρι ἐς αὐτὸν προκατεχρῶντο· καὶ ὁ Καῖσαρ
also — Caesar against him they-made-use-beforehand and — Caesar
οὐκ ἀγνοῶν ᾑρεῖτο καὶ αὐτὸς ὅμως προκαθελεῖν τὸν
not being-ignorant chose also himself nevertheless to-destroy-first —
Ἀντώνιον. τοιᾷδε μὲν ἡ βουλὴ γνώμῃ τὸν Ἀντώνιον εἶχεν
Antony with-such indeed the senate judgment — Antony held
ἐν ὀργῇ, ἀναθέμενοι δὲ τὴν ψῆφον, ὡς ὁ δήμαρχος ἐκέλευεν,
in anger having-put-off and the vote as the tribune bade
ἐψηφίσαντο ὅμως Δέκμον τε ἐπαινέσαι οὐκ ἐκστάντα
they-voted nevertheless Decimus both to-praise not having-yielded
Ἀντωνίῳ τῆς Κελτικῆς καὶ τοῖς ὑπάτοις Ἱρτίῳ καὶ Πάνσᾳ
to-Antony — Celtica and with-the consuls Hirtius and Pansa
Καίσαρα συστρατηγεῖν οὗ νῦν ἔχει στρατοῦ, ἐπίχρυσόν
Caesar to-share-command of-what now he-has army gilded
τε αὐτοῦ εἰκόνα τεθῆναι καὶ γνώμην αὐτὸν ἐσφέρειν ἐν
both of-him statue to-be-set-up and opinion him to-give among
τοῖς ὑπατικοῖς ἤδη καὶ τὴν ὑπατείαν αὐτὴν μετιέναι τοῦ
the consulars already and the consulship itself to-seek than-the
νόμου θᾶσσον ἔτεσι δέκα, ἔκ τε τοῦ δημοσίου δοθῆναι τοῖς
law sooner by-years ten from both the public-treasury to-be-given to-the
τέλεσι τοῖς ἐς αὐτὸν ἀπὸ Ἀντωνίου μεταστᾶσιν, ὅσον
legions the(-ones) to him from Antony having-gone-over as-much-as
αὐτοῖς ὁ Καῖσαρ ἐπὶ τῇ νίκῃ δώσειν ὑπέσχετο. οἳ
to-them — Caesar on the victory to-be-going-to-give promised they
μὲν δὴ ταῦτα ψηφισάμενοι διελύθησαν, ὡς τὸν Ἀντώνιον
indeed indeed these-things having-voted dispersed as — Antony
ἔργῳ διὰ τῶνδε εἰδέναι πολέμιον ἐψηφισμένον καὶ
in-fact through these(-decrees) to-know enemy voted and
τὸν δήμαρχον ἐς τὴν ἐπιοῦσαν οὐδὲν ἔτι ἀντεροῦντα·
the tribune for the following(-day) nothing further going-to-speak-against
Ἀντωνίου δὲ ἡ μήτηρ καὶ ἡ γυνὴ καὶ παῖς ἔτι μειράκιον
of-Antony and the mother and the wife and son still a-stripling

οἵ τε ἄλλοι οἰκεῖοι καὶ φίλοι δι᾽ ὅλης τῆς νυκτὸς ἐς τὰς
the and other kinsmen and friends through whole the night to the
τῶν δυνατῶν οἰκίας διέθεον ἱκετεύοντες καὶ μεθ᾽ ἡμέραν ἐς
of-the powerful houses ran-about begging and by day to
τὸ βουλευτήριον ἰόντας ἠνώχλουν, ῥιπτούμενοί τε πρὸ
the senate-house (men)-going annoyed throwing(-themselves) and before
ποδῶν σὺν οἰμωγῇ καὶ ὀλολυγαῖς καὶ μελαίνῃ στολῇ παρὰ
feet with wailing and shrieks and black dress at
ταῖς θύραις ἐκβοῶντες. οἳ δὲ ὑπό τε τῆς φωνῆς καὶ τῆς
the doors crying-out they and by both the voice and the
ὄψεως καὶ μεταβολῆς ἐς τοσοῦτον αἰφνιδίου γενομένης
sight and of-change to such-a-degree sudden having-occurred
ἐκάμπτοντο. δείσας δ᾽ ὁ Κικέρων ἐβουληγόρησεν ὧδε.
were-bent having-feared and — Cicero addressed-the-senate thus
52 "ἃ μὲν ἔδει γνῶναι περὶ Ἀντωνίου, ἐχθὲς ἔγνωμεν·
what indeed was-needful to-know about Antony yesterday we-knew
οἷς γὰρ αὐτοῦ τοὺς ἐχθροὺς ἐτιμῶμεν, τούτοις ἐψηφιζόμεθα
by-what for of-him the enemies we-honored by-these we-voted
εἶναι πολέμιον. Σάλουιον δὲ τὸν μόνον ἐμποδὼν
to-be enemy Salvius and the(-man) alone in-the-way
γινόμενον ἢ πάντων εἶναι χρὴ συνετώτερον ἢ φιλίᾳ
being either than-all to-be must more-intelligent or from-friendship
τάδε πράσσειν ἢ τῶν ἐνεστώτων ἀμαθίᾳ. ὧν τὸ
these-things to-do or of-the present(-affairs) from-ignorance of-which the
μὲν αἴσχιστόν ἐστιν ἡμῖν, εἰ δόξομεν ἀσυνετώτεροι πάντες
indeed most-shameful is for-us if we-shall-seem more-unintelligent all
ἑνὸς εἶναι, τὸ δὲ αὐτῷ Σαλουίῳ, εἰ φιλίαν τῶν κοινῶν
than-one to-be the and for-himself Salvius if friendship to-the public(-good)
προτιμῴη· ἀμαθῶς δ᾽ αὐτὸν ἔχοντα τῶν παρόντων
he-should-prefer ignorantly and him being-disposed of-the present(-affairs)
ἔδει πιστεύειν ὑπάτοις ἀνθ᾽ ἑαυτοῦ καὶ στρατηγοῖς
it-was-needful to-trust (the)-consuls instead-of himself and praetors

καὶ δημάρχοις τοῖς συνάρχουσιν αὐτῷ καὶ τοῖς ἄλλοις
and tribunes the colleagues of-him and the other
βουλευταῖς, οἳ τοσοίδε τὴν ἀξίωσίν τε καὶ τὸν ἀριθμὸν
senators who so-many the rank both and the number
ὄντες διά τε ἡλικίαν καὶ ἐμπειρίαν ὑπὲρ τὸν Σάλουιον,
being because-of both age and experience beyond — Salvius
καταγινώσκομεν Ἀντωνίου. ἔστι δ' ἔν τε χειροτονίαις
condemn Antony it-is and in both elections
καὶ δίκαις αἰεὶ τὸ πλέον δικαιότερον. εἰ δὲ καὶ νῦν ἔτι
and trials always the majority more-just if but even now still
χρῄζει τὰς αἰτίας μαθεῖν, λελέξεται διὰ βραχέος, ὡς ἐν
he-needs the charges to-learn it-shall-be-said in brief as in
ἀναμνήσει, τὰ μέγιστα αὐτῶν. τὰ χρήματα ἡμῶν Καίσαρος
reminder the greatest of-them the money our Caesar
ἀποθανόντος ἐσφετερίσατο Ἀντώνιος. Μακεδονίας ἄρχειν
having-died appropriated Antony Macedonia to-govern
παρ' ἡμῶν ἐπιτυχὼν ἐπὶ τὴν Κελτικὴν ὥρμησε χωρὶς
from us having-obtained against — Celtica set-out without
ἡμῶν. τὸν στρατὸν ἐπὶ Θρᾷκας λαβὼν ἀντὶ Θρᾳκῶν
us the army against Thracians having-taken instead-of Thracians
ἐπήγαγεν ἡμῖν ἐς τὴν Ἰταλίαν. ἑκάτερα τούτων αἰτήσας
brought-against us to — Italy each of-these having-asked
ἡμᾶς ἐπ' ἐνέδρᾳ καὶ οὐ λαβὼν ἔπραξε δι' ἑαυτοῦ.
us for ambush and not having-received(-it) he-did(-it) through himself
σπεῖραν ἐν Βρεντεσίῳ βασιλικὴν συνέταξεν ἀμφ' αὑτὸν
a-cohort in Brundisium royal he-organized around himself
εἶναι, καὶ φανερῶς αὐτὸν ἐν τῇ πόλει σιδηροφοροῦντες
to-be and openly him in the city iron-bearing
ἄνδρες ἐδορυφόρουν τε καὶ ἐνυκτοφυλάκουν ὑπὸ συνθήματι.
men guarded both and kept-night-watch by watchword
ἦγεν ἐκ τοῦ Βρεντεσίου καὶ τὸν ἄλλον στρατὸν ἐς
he-led from — Brundisium also the other army to

τὴν πόλιν ἅπαντα, συντομώτερον ἐφιέμενος ὧν ἐπενόει
the city whole more-quickly aiming-at of-what he-planned
Καῖσαρ· Καίσαρος δὲ αὐτὸν τοῦ νέου σὺν ἑτέρῳ στρατῷ
Caesar of-Caesar and him the young with another army
φθάσαντος ἔδεισε καὶ ἐς τὴν Κελτικὴν ἐτράπετο
having-anticipated(-him) he-feared and to — Celtica turned
ὡς εὔκαιρον ἐφ᾽ ἡμῖν ὁρμητήριον, ὅτι καὶ ὁ Καῖσαρ
as convenient against us base because also — Caesar
ἐκεῖθεν ὁρμώμενος ἐδυνάστευσεν ἡμῶν.
from-there setting-out ruled-over us
53 τὴν στρατιὰν ἐπὶ τοῖσδε καταπλησσόμενος, ἵνα πρὸς
the army besides these-things terrifying so-that against
μηθὲν αὐτῷ παρανομοῦντι κατοκνῇ, διεκλήρωσεν ἐς
nothing to-him acting-lawlessly it-might-hesitate he-chose-by-lot for
θάνατον, οὐ στασιάσαντας ἢ φυλακὴν ἢ τάξιν ἐν πολέμῳ
death not having-mutinied or guard or rank in war
λιπόντας, ἐφ᾽ ὧν μόνων ὁ στρατιωτικὸς νόμος τὴν
having-left for which alone the military law the
οὕτως ὠμὴν ὥρισε τιμωρίαν, καὶ ὅμως αὐτῇ καὶ ἐπὶ
so cruel fixed punishment and nevertheless it even for
τοῖσδε ὀλίγοι μόλις ἐν τοῖς πάνυ κινδύνοις ἐχρήσαντο
these-things few scarcely in the very dangers used
ὑπ᾽ ἀνάγκης· ὃ δὲ φωνῆς ἢ γέλωτος ἧγεν ἐς θάνατον
by necessity he and for-a-word or a-laugh led to death
τοὺς πολίτας καὶ θάνατον οὐ τῶν ἐλεγχθέντων,
the citizens and death not of-the(-men) convicted
ἀλλὰ τῶν διαλαχόντων. τοιγαροῦν οἱ μὲν δυνηθέντες
but of-the(-men) drawn-by-lot therefore they indeed having-been-able
ἀπέστησαν αὐτοῦ, καὶ ὑμεῖς αὐτοῖς ὡς εὖ πράξασι δωρεὰς
revolted from-him and you to-them as well having-done gifts
χθὲς ἐψηφίσασθε· οἱ δὲ οὐ δυνηθέντες ἀποδρᾶναι δεδιότες
yesterday voted they and not having-been-able to-run-away fearing

συναδικοῦσι καὶ χωροῦσιν ἐπὶ χώραν ὑμετέραν πολέμιοι
join-in-wrongdoing and advance against country your enemies
καὶ πολιορκοῦσι στρατὸν ὑμέτερον καὶ στρατηγὸν ὑμέτερον,
and besiege army your and general your
ᾧ γράφετε μὲν ὑμεῖς ἐμμένειν τῇ Κελτικῇ, Ἀντώνιος δ'
whom you-write indeed you to-remain — in-Celtica Antony but
ἐξιέναι κελεύει. πότερον οὖν ἡμεῖς Ἀντώνιον ψηφιζόμεθα
to-go-out orders whether then we Antony vote
εἶναι πολέμιον, ἢ Ἀντώνιος ἡμᾶς ἤδη πολεμεῖ, καὶ ὁ
to-be enemy or Antony us already makes-war-on and the
δήμαρχος ἡμῶν ἔτι ἀγνοεῖ, μέχρι ἄρα Δέκμου πεσόντος ἥ
tribune our still is-ignorant until then Decimus having-fallen the
τε χώρα τοσήδε οὖσα καὶ ὅμορος ἡμῖν καὶ ἐπὶ τῇ χώρᾳ
both country so-great being and bordering on-us and upon the country
ὁ Δέκμου στρατὸς ἐς τὰς καθ' ἡμῶν ἐλπίδας Ἀντωνίῳ
the of-Decimus army for the against us hopes to-Antony
προσγένηται. τότε γὰρ αὐτόν, ὡς ἔοικεν, ὁ δήμαρχος
may-be-added then for him as it-seems the tribune
ψηφιεῖται πολέμιον, ὅταν ἡμῶν γένηται δυνατώτερος".
will-vote enemy when than-us he-has-become more-powerful
ταῦτ' ἔτι τοῦ Κικέρωνος λέγοντος οἱ φίλοι θορυβοῦντες 54
these-things still — Cicero saying the friends making-uproar
ἀπαύστως οὐδενὶ ἀντειπεῖν ἐπέτρεπον, μέχρι Πείσωνος
ceaselessly to-no-one to-speak-against allowed until Piso
αὐτοῦ παρελθόντος ἥ τε ἄλλη βουλὴ κατ' αἰδῶ τοῦ
himself having-come-forward the both other senate from respect of-the
ἀνδρὸς ἡσύχασε καὶ οἱ τοῦ Κικέρωνος ἠνέσχοντο. καὶ
man was-quiet and the(-men) — of-Cicero bore(-it) and
ἔλεγεν ὁ Πείσων· "ὁ μὲν νόμος, ὦ βουλή, δικαιοῖ τὸν
spoke — Piso the indeed law O senate requires the(-man)
εὐθυνόμενον αὐτὸν ἀκοῦσαί τε τῆς κατηγορίας καὶ
being-called-to-account himself to-hear both the accusation and

ἀπολογησάμενον ὑπὲρ αὑτοῦ κρίνεσθαι· καὶ τὸν δεινότατον
having-made-his-defense for himself to-be-judged and the most-formidable
εἰπεῖν Κικέρωνα ἐς ταῦτα προκαλοῦμαι. ἐπεὶ δὲ ὀκνεῖ
to-speak Cicero to these-things I-challenge since but he-hesitates
μὲν παρόντος Ἀντωνίου κατηγορεῖν, ἀπόντος δ' ἐγκλήματά
indeed being-present Antony to-accuse being-absent but charges
τινα εἶπεν ὡς μέγιστα ἐκ πάντων καὶ ἀναμφίλογα ὄντα,
some he-spoke as greatest of all and indisputable being
παρῆλθον ἐγὼ δείξων αὐτὰ ψευδῆ βραχυτάταις
I-have-come-forward I to-be-going-to-show them false with-very-brief
ἀποκρίσεσι. τὰ χρήματά φησιν Ἀντώνιον τὰ κοινὰ μετὰ
answers the money he-says Antony the public after
τὴν Καίσαρος τελευτὴν σφετερίσασθαι, τοῦ μὲν νόμου τὸν
the of-Caesar death to-have-appropriated the indeed law the
κλέπτην οὐ πολέμιον ἀποφαίνοντος, ἀλλὰ ὡρισμένῃ δίκῃ
thief not enemy declaring but with-a-fixed penalty
ζημιοῦντος, Βρούτου δὲ τοῦ Καίσαρα κτείναντος ἐν τῷ
punishing Brutus and the(-one) Caesar having-killed in the
δήμῳ καὶ τόδε κατηγορήσαντος, ὅτι ὁ Καῖσαρ τὰ χρήματα
people and this having-charged that — Caesar the money
διεφόρησε καὶ κενὰ καταλέλοιπε τὰ ταμιεῖα, Ἀντωνίου
had-carried-off and empty has-left the treasuries Antony
δὲ μετ' οὐ πολὺ ζητεῖν αὐτὰ ψηφισαμένου καὶ ὑμῶν
and after not long to-search-for them having-voted and you
ἀποδεξαμένων τε τὴν γνώμην καὶ κεκυρωκότων καὶ γέρας
having-accepted both the motion and having-ratified(-it) and reward
τοῖς μηνύουσι δεκάτην ὑπεσχημένων, ἣν διπλασιάσομεν
to-the(-men) informing a-tenth having-promised which we-will-double
ἡμεῖς, εἴ τις Ἀντώνιον περὶ αὐτῶν ἔχοι τι διελέγχειν.
we if anyone Antony about them should-be-able at-all to-convict

καὶ τάδε μὲν περὶ τῶν χρημάτων· τὴν δὲ Κελτικὴν 55
and these-things indeed about the money the and Celtic
ἡγεμονίαν οὐκ ἐψηφισάμεθα μὲν ἡμεῖς Ἀντωνίῳ, ἔδωκε δὲ
command not voted indeed we to-Antony gave but
ὁ δῆμος νόμῳ, παρόντος αὐτοῦ Κικέρωνος, ᾧ τρόπῳ
the people by-law being-present himself Cicero in-which manner
καὶ ἕτερα πολλάκις ἔδωκε καὶ τήνδε τὴν ἡγεμονίαν
also other(-things) often it-gave and this the command
αὐτὴν Καίσαρι πάλαι. μέρος δ' ἐστὶ τοῦ νόμου τὸν
itself to-Caesar long-ago part and is of-the law —
Ἀντώνιον, τὴν δεδομένην οἱ μετιόντα, Δέκμῳ μὴ
Antony the(-province) given to-him seeking with-Decimus not
παραχωροῦντι πολεμεῖν καὶ τὸν στρατὸν ἀντὶ Θρᾳκῶν
giving-way to-make-war and the army instead-of Thracians
οὐδὲν ἔτι κινουμένων ἐς τὴν Κελτικὴν ἐπὶ τὸν
not-at-all still stirring to — Celtica against the(-man)
ἀντιλέγοντα μετάγειν. ἀλλὰ Κικέρων Δέκμον μὲν οὐχ ἡγεῖται
opposing to-transfer but Cicero Decimus indeed not considers
πολέμιον, ἐναντία τῷ νόμῳ τιθέμενον ὅπλα, Ἀντώνιον δὲ
enemy contrary to-the law setting arms Antony but
πολέμιον, τῷ νόμῳ συμμαχοῦντα. εἰ δὲ αὐτὸν αἰτιᾶται τὸν
enemy with-the law fighting-as-ally if but him he-accuses the
νόμον, τοὺς θεμένους αἰτιᾶται· οὓς ἔδει μεταπείθειν,
law the(-men) having-made(-it) he-accuses whom it-was-needful to-win-over
οὐχὶ συνθέμενον ὑβρίζειν, οὐδὲ τὴν χώραν Δέκμῳ μὲν
not having-agreed to-insult nor the country to-Decimus indeed
πιστεύειν, ὃν ὁ δῆμος ἐδίωξεν ἐπὶ τῷ φόνῳ, Ἀντωνίῳ δὲ
to-entrust whom the people prosecuted for the murder to-Antony but
ἀπιστεῖν, ὅ τι ὁ δῆμος ἔδωκεν. οὐ γὰρ εὖ βουλευομένων
to-distrust what (thing) the people gave not for well of-(men)-deliberating
ἐστὶ διαστασιάζεσθαι πρὸς τὸν δῆμον ἐν καιροῖς μάλιστα
it-is to-quarrel with the people in times most

ἐπικινδύνοις οὐδὲ ἀμνημονεῖν, ὅτι καὶ τόδε αὐτὸ τοῦ
dangerous nor to-forget that also this itself of-the
δήμου πρότερον ἦν, τὸ κρίνειν τὰ φίλια καὶ πολέμια.
people formerly was the to-judge the(-things) friendly and hostile
μόνος γὰρ ἐκ τῶν πάλαι νόμων ὁ δῆμος αὐτοκράτωρ
alone for from the ancient laws the people with-full-power
εἰρήνης πέρι καὶ πολέμου σκοπεῖν· ὧν μηδὲν ὁ δῆμος
peace about and war to-consider of-which nothing the people
ἐπιστήσειε μηδὲ ἐπιμηνίσειεν ἡμῖν, προστάτου λαβόμενος.
may-notice nor may-resent against-us a-champion having-got
56 ἀλλ' ἔκτεινέ τινας τῶν στρατιωτῶν ὁ Ἀντώνιος.
but he-killed some of-the soldiers — Antony
αὐτοκράτωρ γε ὢν καὶ ἐς τοῦτο ὑφ' ὑμῶν
with-full-power at-least being and for this by you
κεχειροτονημένος. καὶ οὐδείς πω τῶνδε λόγον ὑπέσχεν
having-been-elected and no-one yet of-these account gave
αὐτοκράτωρ. οὐ γὰρ ἔκριναν οἱ νόμοι λυσιτελήσειν ἡμῖν
with-full-power not for judged the laws to-be-going-to-profit us
τὸν ἄρχοντα τοῖς στρατευομένοις ὑπεύθυνον εἶναι· οὐδ'
the commander to-the(-men) serving accountable to-be nor
ἔστιν ἀπειθείας τι χεῖρον ἐν στρατοπέδῳ, δι'
is than-disobedience anything worse in a-camp because-of
ἣν καὶ νικῶντές τινες ἀνῃρέθησαν, καὶ οὐδεὶς εὔθυνε
which even conquering some were-put-to-death and no-one called-to-account
τοὺς ἀνελόντας. οὐδὲ τῶν νῦν συγγενὴς οὐδείς,
the(-men) having-killed(-them) nor of-the now(-killed) kinsman anyone
ἀλλὰ Κικέρων ἐπιμέμφεται καὶ φόνου κατηγορῶν πολέμιον
but Cicero finds-fault and of-murder accusing an-enemy
κοινὸν ἀντὶ τῶν ὡρισμένων ἐπιτιμίων τοῖς φονεῦσι
public instead-of the fixed penalties for-the murderers
τίθεται. Ἀντωνίῳ δὲ τὸ στρατόπεδον ὅπως τε ἄτακτον
makes(-him) for-Antony and the camp how both disorderly

ἦν καὶ ὅπως κατεφρόνει, δηλοῖ καὶ τὰ μεταστάντα αὐτοῦ
it-was and how it-despised(-him) shows also the having-gone-over from-him
δύο τέλη, ἃ ὑμεῖς μὲν ἐψηφίσασθε Ἀντωνίῳ στρατεύειν,
two legions which you indeed voted for-Antony to-serve
αὐτομολήσαντα δὲ παρὰ τοὺς στρατιωτικοὺς νόμους, οὐ
having-deserted but against the military laws not
πρὸς ὑμᾶς, ἀλλ' ἐς Καίσαρα, ὁ Κικέρων ὅμως ἐπήνεσε
to you but to Caesar — Cicero nevertheless praised
καὶ ἐκ τῶν κοινῶν ἐχθὲς ἐμισθοδότησε· καὶ μή ποτε ὑμᾶς
and from the public(-funds) yesterday paid and not ever you
λυπήσειε τὸ παράδειγμα. Κικέρωνα δὲ καὶ ἐς ἀνωμαλίαν
may-grieve the example Cicero and even into inconsistency
ἐξέστησεν ἡ ἔχθρα· κατηγορεῖ γὰρ Ἀντωνίου τυραννίδα
has-carried the enmity he-accuses for of-Antony tyranny
καὶ κόλασιν στρατιωτῶν, ἀεὶ τῶν ἐπιβουλευόντων τὰ
and punishment of-soldiers always the(-men) plotting the
στρατεύματα θεραπευόντων, οὐ κολαζόντων. ἐπεὶ δὲ οὐκ
armies courting not punishing since and not
ὤκνησεν οὐδὲ τὴν ἄλλην Ἀντωνίου μετὰ Καίσαρα ἀρχὴν
he-hesitated nor the other of-Antony after Caesar rule
ὡς τυραννικὴν διαβαλεῖν, φέρε πύθωμαι καθ' ἕκαστον ὧδε.
as tyrannical to-slander come let-me-inquire by each(-point) thus
τίνα ἔκτεινεν ὡς τύραννος ἄκριτον ὁ νῦν κινδυνεύων 57
whom did-he-kill as tyrant unjudged the(-man) now being-in-danger
ἀκρίτως; τίνα δ' ἐξέβαλε τῆς πόλεως; τίνα δὲ ὑμῖν
without-trial whom and did-he-banish from-the city whom and to-you
διέβαλεν; ἢ καθ' ἕνα μὲν τοιόσδε ἦν, ἐπεβούλευε δὲ
did-he-slander or by one indeed such was(-he) he-plotted but
πᾶσιν ὁμοῦ; πότε, ὦ Κικέρων; ὅτε τὴν ἀμνηστίαν ἐκύρου
against-all together when O Cicero when the amnesty he-ratified
τῶν γεγονότων; ἢ ὅτε μηδένα διώκεσθαι φόνου; ἢ ὅτε
of-the(-things) having-happened or when no-one to-be-prosecuted for-murder or when

ζήτησιν εἶναι τῶν κοινῶν χρημάτων; ἢ ὅτε Πομπήιον τὸν
an-inquiry to-be into-the public moneys or when Pompey the(-son)
Πομπηίου τοῦ ὑμετέρου κατεκάλει καὶ τὴν πατρῴαν ἐκ τῶν
of-Pompey the your he-recalled and the paternal from the
δημοσίων αὐτῷ διέλυε περιουσίαν; ἢ ὅτε τὸν Ψευδομάριον
public(-treasury) to-him settled property or when — Pseudo-Marius
λαβὼν ἐπιβουλεύοντα ἀπέκτεινε καὶ ἐπῃνέσατε πάντες
having-caught plotting he-killed and you-praised(-it) all
καὶ τοῦτο μόνον δι' ὑμᾶς οὐ διέβαλε Κικέρων; ἢ ὅτε
and this alone because-of you not slandered Cicero or when
ἐψηφίζετο μὴ εἰσηγεῖσθαι περὶ δικτάτορος μηδένα μήτε
he-proposed not to-introduce-a-motion about dictator anyone nor
ἐπιψηφίζειν, ἢ νηποινεὶ πρὸς τοῦ θέλοντος ἀποθνήσκειν;
to-put-to-vote or with-impunity by the(-man) willing to-die
ταῦτα γάρ ἐστιν, ἃ ἐπολιτεύσατο ἡμῖν Ἀντώνιος ἐν δύο
these-things for are what administered for-us Antony in two
μησίν, οἷς μόνοις ἐπέμεινε τῇ πόλει μετὰ Καίσαρα,
months in-which alone he-remained in-the city after Caesar
ἄρτι μὲν τοῦ δήμου τοὺς φονέας διώκοντος, ἄρτι δὲ
just-now indeed the people the murderers pursuing just-now and
ὑμῶν δεδιότων ἐπὶ τοῖς ἐσομένοις· οὗ τίνα καιρόν, εἰ
you fearing for the(-things) to-come of-which what occasion if
πονηρὸς ἦν, ἀμείνονα εἶχεν; ἀλλ' ἐς τὰ ἐναντία· οὐκ
wicked he-was better had(-he) but on the contrary did-he-not
ἦρχε. πῶς; οὐ μόνος ἦρχεν ἀποδημήσαντος ἐπὶ Συρίας
rule how not alone did-he-rule having-gone-abroad to Syria
Δολοβέλλα; οὐ στρατὸν εἶχεν ἕτοιμον ἐν τῇ πόλει τὸν
Dolabella not army had-he ready in the city the(-one)
ὑφ' ἡμῶν αὐτῷ δεδομένον; οὐκ ἐνυκτοφυλάκει τὴν πόλιν;
by us to-him given not did-he-guard-by-night the city
οὐκ ἐνυκτοφυλακεῖτο διὰ τὴν τῶν ἐχθρῶν ἐπιβουλήν; οὐ
not was-he-guarded-by-night because-of the of-the enemies plot not

πρόφασιν εἶχε τὴν σφαγὴν Καίσαρος, φίλου τέ οἱ καὶ
pretext had(-he) the slaughter of-Caesar friend both to-him and
εὐεργέτου ὄντος καὶ τῷ δήμῳ μάλιστα ὑπεραρέσκοντος;
benefactor being and to-the people most pleasing
οὐχ ἑτέραν εἶχεν οἰκείαν, ἐπιβεβουλευμένος ἐς τὸ σῶμα
not another had-he own having-been-plotted-against against the person
ὑπὸ τῶν ἀνδρῶν; ὧν ἔκτεινε μὲν ἢ ἐφυγάδευσεν
by the men of-whom he-killed indeed or banished
οὐδένα, συνέγνω δέ, ὅσον εἶχε μέτρου καλῶς, καὶ
no-one pardoned(-them) but as-much-as he-had of-measure honorably and
διδομένας αὐτοῖς ἡγεμονίας οὐκ ἐφθόνησε δοθῆναι.
being-given to-them commands not grudged to-be-given
τὰ μὲν δὴ μέγιστα, ὦ Ῥωμαῖοι, καὶ ἀναμφίλογα 58
the indeed indeed greatest O Romans and indisputable
Κικέρωνος ἐς τὸν Ἀντώνιον ἐγκλήματα ὁρᾶτε· ἐπεὶ δέ
of-Cicero against — Antony charges you-see since and
γε ἐπὶ τοῖς ἐγκλήμασι καὶ μαντεύματα ἐπάγουσιν, ὡς
at-least on-top-of the charges also prophecies they-bring that
ὁ Ἀντώνιος ἔμελλε μὲν τὸν στρατὸν ἄξειν ἐπὶ τὴν πόλιν,
— Antony was-going indeed the army to-lead against the city
δείσειε δὲ προλαβόντος αὐτὴν ἑτέρῳ στρατῷ Καίσαρος,
feared but having-forestalled it with-another army Caesar
πῶς οὖν, εἰ τὸ μελλῆσαι μόνον ἐστὶν ἀνδρὸς πολεμίου,
how then if the to-intend only is of-a-man enemy
τὸν ἐλθόντα καὶ παραστρατοπεδεύσαντα ἡμῖν ἀσήμαντον
the(-man) having-come and having-encamped-beside us without-signal
οὐχ ἡγεῖται πολέμιον; πῶς δ', εἴπερ ἤθελεν ὁ Ἀντώνιος,
not he-considers enemy how and if-indeed wished — Antony
οὐκ ἀφίκετο; ἢ τρισμυρίους ἔχων συντεταγμένους ἔδεισε
not did-he-come or thirty-thousand having organized he-feared
τρισχιλίους τοὺς ἀμφὶ τὸν Καίσαρα ὄντας ἀνόπλους,
three-thousand the(-men) around — Caesar being unarmed

ἀσυντάκτους, ἐς μόνας Καίσαρι διαλλαγὰς συνελθόντας καὶ
unorganized for only to-Caesar reconciliations having-come-together and
εὐθύς, ὡς ἔγνωσαν πολεμεῖν αἱρούμενον, καταλιπόντας;
at-once when they-learned(-him) to-make-war choosing having-left(-him)
εἰ δὲ μετὰ τρισμυρίων ἐλθεῖν ἔδεισε, πῶς ἦλθε μετὰ
if but with thirty-thousand to-come he-feared how did-he-come with
μόνων χιλίων; μεθ' ὧν αὐτὸν ἐς τὸ Τίβυρον ἐξιόντα πόσοι
only a-thousand with whom him to — Tibur going-out how-many
προεπέμπομεν καὶ πόσοι συνώμνυμεν οὐχ ὁρκούμενοι;
we-escorted and how-many swore-with(-him) not being-made-to-swear
πόσους δὲ Κικέρων ἐπαίνους ἐς τὴν πολιτείαν αὐτοῦ
how-many and Cicero praises on the statesmanship of-him
καὶ ἀρετὴν ἀνάλισκε; πῶς δ' αὐτὸς Ἀντώνιος, εἴ τι
and virtue spent how and himself Antony if anything
τοιοῦτον ἐγίγνωσκε, τὰ ἐνέχυρα τὰ νῦν ὄντα πρὸ
such he-intended the pledges the(-ones) now being before
τοῦ βουλευτηρίου κατέλιπεν ἡμῖν, μητέρα καὶ γυναῖκα
the senate-house did-he-leave to-us mother and wife
καὶ μειράκιον υἱόν; οἳ κλαίουσι καὶ δεδίασι νῦν οὐ τὴν
and stripling son who weep and fear now not the
Ἀντωνίου πολιτείαν, ἀλλὰ τὴν τῶν ἐχθρῶν δυναστείαν.
of-Antony statesmanship but the of-the enemies dominance
59 ταῦτα μὲν δὴ πρὸς ὑμᾶς ἐξενήνοχα δεῖγμα τῆς
these-things indeed indeed to you I-have-brought-out a-sample of-the
Ἀντωνίου τε ἀπολογίας καὶ Κικέρωνος μεταβολῆς·
of-Antony both defense and of-Cicero inconsistency
παραίνεσιν δ' ἐπιθήσω τοῖς εὖ φρονοῦσι μήτε ἐς
advice and I-shall-add to-the(-men) well thinking neither against
τὸν δῆμον μήτε ἐς Ἀντώνιον ἁμαρτάνειν μηδὲ ἔχθρας
the people nor against Antony to-err nor enmities
καὶ κινδύνους ἐπάγειν τοῖς κοινοῖς, νοσούσης ἔτι τῆς
and dangers to-bring-on the public(-affairs) being-sick still the

πολιτείας καὶ ἀπορούσης τῶν ὀξέως ἀμυνούντων,
state and lacking of-the(-men) sharply going-to-defend
δύναμιν δ' ἐν τῇ πόλει συστησαμένους, πρὶν θορυβῆσαί
a-force and in the city having-established before to-make-uproar
τι τῶν ἔξω, τὴν ἀρκέσουσαν, τότε τοῖς
anything of-the(-men) outside the (force)-going-to-suffice then for-the(-things)
ἑκάστοτε ἐπείγουσιν ἐφεδρεύειν καὶ κρίνειν, οὓς ἂν
on-each-occasion pressing to-lie-in-wait and to-judge whomever —
ἐθέλητε, δυναμένους τὸ κεκριμένον τελεῖν. πῶς οὖν
you-wish being-able the judged to-carry-out how then
ἔσται ταῦτα; ἐὰν Ἀντώνιον μὲν ἐῶμεν ἐς πρόφασιν ἢ
will-be these-things if Antony indeed we-allow for pretext or
χάριν τοῦ δήμου τὴν Κελτικὴν ἔχειν, Δέκμον δὲ μετὰ
favor of-the people — Celtica to-hold Decimus and with
τριῶν ὧν ἔχει τελῶν ἐνθάδε καλῶμεν καὶ ἀφικόμενον
three which he-has legions here we-summon and having-come
ἐκπέμπωμεν ἐς Μακεδονίαν, τὰ τέλη κατασχόντες. εἰ δὲ
we-send-out to Macedonia the legions having-kept if and
καὶ τὰ ἀπ' Ἀντωνίου μεταστάντα δύο πρὸς ἡμᾶς
also the(-legions) from Antony having-gone-over two to us
μετέστη, καθάπερ φησὶ Κικέρων, καὶ τάδε καλῶμεν ἀπὸ
came-over as says Cicero also these we-summon from
τοῦ Καίσαρος ἐς τὴν πόλιν. οὕτω γὰρ πέντε τελῶν
— Caesar to the city thus for five legions
ἡμῖν ὑπαρχόντων ψηφιζοίμεθα ἄν, ὅ τι δοκιμάζοιμεν,
to-us being-available we-would-vote — what (thing) we-should-approve
ἐγκρατῶς, ἐς οὐδενὸς ἀνδρὸς ἐλπίδας αἰωρούμενοι.
firmly on no man's hopes hanging
καὶ τάδε μὲν εἴρηται τοῖς ἄνευ φθόνου καὶ 60
and these-things indeed have-been-said to-the(-men) without envy and
φιλονικίας ἀκροωμένοις· τοῖς δὲ ἀπερισκέπτως
contentiousness listening to-the(-men) but heedlessly

καὶ ἀπαρασκεύως δι᾽ οἰκείαν ἔχθραν ἢ φιλονικίαν
and unpreparedly through own enmity or contentiousness
ἐκθορυβοῦσιν ὑμᾶς κριτὰς παραινῶ μὴ ταχεῖς εἶναι μηδὲ
throwing-into-uproar you judges I-advise not hasty to-be nor
προπετεῖς ἐς ἄνδρας μεγίστους τε καὶ στρατιᾶς ἄρχοντας
rash against men greatest both and of-army commanding
ἱκανῆς μηδὲ ἄκοντας ἐκπολεμοῦν, ἀναμιμνησκομένους
sufficient nor unwilling(-men) to-make-enemies remembering
Μαρκίου τε τοῦ Κοριολανοῦ καὶ τὰ ἔναγχος δὴ
of-Marcius both the Coriolanus and the(-things) recently indeed
ταῦτα Καίσαρος, ὃν στρατιᾶς ὁμοίως ἡγούμενον καὶ
these of-Caesar whom of-army likewise commanding and
σπονδὰς ἀρίστας ἂν ἡμῖν γενομένας προτείνοντα προπετῶς
terms best — for-us having-become proposing rashly
πολέμιον ψηφισάμενοι τῷ ὄντι πολέμιον ἠναγκάσαμεν
enemy having-voted in-the reality enemy we-compelled
γενέσθαι, φείδεσθαι δὲ καὶ τοῦ δήμου πρὸ βραχέος τοῖς
to-become to-spare and also the people before short(-time) at-the
φονεῦσι τοῖς Καίσαρος ἐπιδραμόντος, μὴ ἐς ὕβριν αὐτοῦ
murderers the of-Caesar having-rushed lest to insult of-it
δοκῶμεν τοῖς μὲν ἡγεμονίας ἐθνῶν διδόναι, Δέκμον
we-seem to-the(-men) indeed commands of-provinces to-give Decimus
δὲ ἐπαινεῖν, ὅτι τοῦ δήμου νόμον ἀκυροῖ, καὶ Ἀντώνιον
but to-praise because of-the people law he-annuls and Antony
πολέμιον κρίνειν, ὅτι τὴν Κελτικὴν ἔλαβε παρὰ τοῦ
enemy to-judge because — Celtica he-took from the
δήμου. ὧν τοὺς μὲν εὖ βουλευομένους ἐνθυμεῖσθαι
people of-which the(-men) indeed well deliberating to-take-thought
χρὴ ὑπὲρ τῶν ἔτι πλανωμένων, τοὺς δ᾽ ὑπάτους καὶ
must on-behalf-of the(-men) still erring the and consuls and
δημάρχους πλείονας κινδυνεύουσι τοῖς κοινοῖς γενέσθαι".
tribunes more being-in-danger the public(-affairs) to-become

ὧδε μὲν ὁ Πείσων ἀπελογεῖτο καὶ ὠνείδιζεν ὁμοῦ καὶ 61
thus indeed — Piso defended and reproached together and
ἐφόβει καὶ σαφῶς αἴτιος ἐγένετο μὴ ψηφισθῆναι πολέμιον
frightened and clearly cause became not to-be-voted enemy
Ἀντώνιον. οὐ μὴν ἐκράτησε τῆς Κελτικῆς αὐτὸν ἄρχειν·
Antony not indeed he-prevailed — Celtica him to-govern
οἱ γὰρ τῶν σφαγέων φίλοι τε καὶ συγγενεῖς ὑπὸ
the(-men) for of-the slayers friends both and kinsmen from
δέους ἐκώλυσαν, μὴ τοῦ πολέμου λυθέντος ἐπεξέλθοι
fear prevented lest the war having-been-ended he-should-prosecute
τὸν φόνον Καίσαρι συναλλαγείς· διὸ καὶ στασιάζειν αἰεὶ
the murder with-Caesar reconciled wherefore also to-quarrel always
παρεσκεύαζον Καίσαρά τε καὶ Ἀντώνιον. ἐψηφίσαντο δ᾽
they-made-ready Caesar both and Antony they-voted and
Ἀντωνίῳ προαγορεῦσαι Μακεδονίαν ἀντὶ τῆς Κελτικῆς
to-Antony to-proclaim Macedonia instead-of — Celtica
ἔχειν· τὰς δὲ ἄλλας ἐντολάς, εἴτε λαθόντες εἴτ᾽ ἐξεπίτηδες,
to-hold the and other instructions whether unnoticed or on-purpose
Κικέρωνα συγγράψαι τε καὶ δοῦναι τοῖς πρεσβεύουσι
Cicero to-draft both and to-give to-the(-men) going-as-envoys
προσέταξαν. ὁ δὲ τὴν γνώμην παραφέρων συνέγραφεν ὧδε·
they-ordered he and the resolution distorting drafted thus
Μουτίνης Ἀντώνιον εὐθὺς ἀπανίστασθαι καὶ Δέκμῳ τὴν
from-Mutina Antony at-once to-withdraw and to-Decimus —
Κελτικὴν μεθιέναι, ἐντὸς δὲ Ῥουβίκωνος ποταμοῦ, τοῦ
Celtica to-give-up within and Rubicon river the(-one)
τὴν Ἰταλίαν ὁρίζοντος ἀπὸ τῆς Κελτικῆς, ἡμέρᾳ ῥητῇ
— Italy bounding from — Celtica on-a-day fixed
γενόμενον ἐπιτρέψαι τὰ καθ᾽ ἑαυτὸν ἅπαντα τῇ
having-come to-entrust the(-affairs) concerning himself all to-the
βουλῇ. οὕτω μὲν φιλονίκως τε καὶ ψευδῶς τὰς ἐντολὰς
senate thus indeed contentiously both and falsely the instructions

ὁ Κικέρων συνέγραφεν, οὐδεμιᾶς ἔχθρας τοσῆσδε ὑπούσης,
— *Cicero drafted no enmity so-great existing*
ἀλλ', ὡς ἔοικε, τοῦ δαιμονίου τὰ κοινὰ ἐς μεταβολὴν
but as it-seems the divine-power the public(-affairs) to change
ἐνοχλοῦντος καὶ αὐτῷ Κικέρωνι κακῶς ἐπινοοῦντος.
troubling and for-himself Cicero ill devising
ἄρτι δὲ καὶ τῶν Τρεβωνίου λειψάνων κομισθέντων καὶ
just-now and also the of-Trebonius remains having-been-brought and
τῆς ἐς αὐτὸν ὕβρεως γνωσθείσης ἀκριβέστερον, οὐ
of-the toward him outrage having-been-known more-exactly not
δυσχερῶς ἡ βουλὴ τὸν Δολοβέλλαν ἔκρινεν εἶναι πολέμιον.
with-difficulty the senate — Dolabella judged to-be enemy
62 οἱ δ' ἐς τὸν Ἀντώνιον ἀπεσταλμένοι πρέσβεις, αἰδούμενοι
they and to — Antony sent envoys being-ashamed-of
τῶν ἐντολῶν τὸ ἀλλόκοτον, οὐδὲν μὲν ἔφασαν, αὐτὰς δ'
of-the instructions the strangeness nothing indeed said them but
ἐπέδοσαν αὐτῷ. καὶ ὁ Ἀντώνιος σὺν ὀργῇ πολλὰ ἔς
delivered to-him and — Antony with anger many(-things) against
τε τὴν βουλὴν καὶ τὸν Κικέρωνα ἀπερρίπτει, θαυμάζων, ὅτι
both the senate and — Cicero threw-out wondering that
Καίσαρα μὲν τὸν τὰ μέγιστα ὠφελήσαντα τὴν ἀρχὴν
Caesar indeed the(-man) the greatest(-things) having-benefited the empire
ἡγοῦνται τύραννον ἢ βασιλέα, Κικέρωνα δὲ οὐ νομίζουσιν,
they-consider tyrant or king Cicero but not they-think
ὃν Καῖσαρ μὲν εἶλε πολέμῳ καὶ οὐκ ἀπέκτεινε, Κικέρων
whom Caesar indeed took in-war and not killed Cicero
δὲ τοὺς ἐκείνου φονέας προτίθησι τῶν φίλων αὐτοῦ καὶ
but the of-him murderers prefers to-the friends of-him and
Δέκμον Καίσαρι μὲν ὄντα φίλον ἐμίσει, ἀνδροφόνον δὲ
Decimus to-Caesar indeed being friend he-hated murderer but
αὐτοῦ γενόμενον ἀγαπᾷ, καὶ τῷ μὲν παρ' οὐδενὸς
of-him having-become he-loves and to-the(-one) indeed from no-one

μετὰ Καίσαρα λαβόντι τὴν Κελτικὴν προστίθεται,
after Caesar having-received — Celtica he-sides
τῷ δὲ παρὰ τοῦ δήμου λαβόντι πολεμεῖ. "τῶν τε
to-the(-one) but from the people having-received he-makes-war of-the both
ἐψηφισμένων μοι τελῶν τοῖς μὲν αὐτομολήσασι γέρα
voted to-me legions to-the(-ones) indeed having-deserted prizes
δίδωσι, τοῖς δὲ παραμείνασιν οὔ, διαφθείρων οὐκ ἐμοὶ
he-gives to-the(-ones) but having-remained not corrupting not to-me
μᾶλλον ἀλλὰ τῇ πόλει τὰ στρατιωτικά. καὶ τοῖς μὲν
rather but to-the city the military(-discipline) and to-the indeed
ἀνδροφόνοις ἀμνηστίαν ἔδωκεν, ᾗ κἀγὼ συνεθέμην
murderers amnesty he-gave to-which I-too agreed
διὰ δύο ἄνδρας αἰδεσίμους· Ἀντώνιον δὲ καὶ Δολοβέλλαν
because-of two men worthy-of-respect Antony but and Dolabella
ἡγεῖται πολεμίους, ὅτι τῶν δεδομένων ἐχόμεθα. ἥδε
he-considers enemies because the(-things) given we-hold-to this
γάρ ἐστιν ἡ ἀληθὴς αἰτία· κἂν ἀποστῶ τῆς Κελτικῆς, οὔτε
for is the true cause and-if I-withdraw — from-Celtica neither
πολέμιος οὔτε μόναρχός εἰμι. ταῦτα μέντοι μαρτύρομαι
enemy nor monarch am-I these-things however I-protest
λύσειν τὴν οὐκ ἀγαπωμένην ἀμνηστίαν".
to-be-going-to-dissolve the not loved amnesty
τοιάδε πολλὰ εἰπὼν ὁ Ἀντώνιος ἀντέγραφε τῷ 63
such many(-things) having-said — Antony wrote-in-reply to-the
δόγματι τῇ μὲν βουλῇ πεισθῆναι ἂν ἐς ἅπαντα ὡς
decree to-the indeed senate to-be-going-to-obey — in all as
πατρίδι, Κικέρωνι δὲ τῷ συγγράψαντι τὰς ἐντολὰς ὧδε
to-fatherland to-Cicero but the(-one) having-drafted the instructions thus
ἀποκρίνεσθαι· "ὁ δῆμος ἔδωκέ μοι τὴν Κελτικὴν νόμῳ, καὶ
to-answer the people gave me — Celtica by-law and
Δέκμον ἀπειθοῦντα τῷ νόμῳ μετελεύσομαι καὶ τοῦ φόνου
Decimus disobeying the law I-shall-pursue and of-the murder

δίκας ἀπαιτήσω μόνον ὑπὲρ ἁπάντων, ἵνα καὶ ἡ
justice I-shall-exact (from-him)-alone on-behalf-of all so-that also the
βουλὴ καθαρεύσῃ ποτὲ τοῦ μύσους, ἐμπιπλαμένη νῦν διὰ
senate may-be-cleansed at-last of-the pollution being-filled now because-of
Κικέρωνα Δέκμῳ βοηθοῦντα". τάδε μὲν ὁ Ἀντώνιος εἶπέ
Cicero Decimus helping these-things indeed — Antony said
τε καὶ ἀντέγραψε, καὶ ἡ βουλὴ αὐτὸν αὐτίκα ἐψηφίζετο
both and wrote-in-reply and the senate him at-once voted
εἶναι πολέμιον καὶ τὸν ὑπ' αὐτῷ στρατόν, εἰ μὴ ἀποσταῖεν
to-be enemy and the under him army if not they-should-desert
αὐτοῦ· Μακεδονίας δὲ καὶ τῆς Ἰλλυρίδος αὐτῆς καὶ
him of-Macedonia and and — of-Illyricum itself and
τῶν ἐν ἀμφοτέραις ὑπολοίπων στρατῶν Μᾶρκον Βροῦτον
of-the in both remaining armies Marcus Brutus
ἄρχειν, μέχρι κατασταίη τὰ κοινά. ὁ δὲ ἴδιόν τε εἶχεν
to-command until should-be-settled the public(-affairs) he and own both had
ἤδη στρατὸν καὶ παρὰ Ἀπουληίου τινὰ προσειλήφει
already army and from Apuleius some had-received-in-addition
καὶ ναῦς εἶχε μακράς τε καὶ ὁλκάδας καὶ χρημάτων ἐς
and ships had long both and merchantmen and of-money to
μύρια καὶ ἑξακισχίλια τάλαντα καὶ ὅπλα πολλά, ὅσα
ten-thousand and six-thousand talents and arms many as-many-as
ἐν Δημητριάδι Γαΐῳ Καίσαρι ἐκ πολλοῦ γιγνόμενα
in Demetrias for-Gaius Caesar from long(-ago) having-been-made
εὗρεν· οἷς ἅπασιν αὐτὸν ἡ βουλὴ τότε ἐψηφίζετο ἐς τὰ
he-found which all him the senate then voted for the
συμφέροντα τῆς πατρίδος χρῆσθαι. ἐψηφίσαντο δὲ καὶ
advantage of-the fatherland to-use they-voted and also
Κάσσιον ἄρχειν τε Συρίας καὶ πολεμεῖν Δολοβέλλᾳ· τούς
Cassius to-govern both Syria and to-make-war on-Dolabella the
τε ἄλλους, ὅσοι τινὸς ἔθνους ἢ στρατοῦ Ῥωμαίων
both others as-many-as any province or army of-Romans

ἄρχουσιν ἀπὸ τῆς Ἰονίου θαλάσσης ἐπὶ τὴν ἕω, πάντας
command from the Ionian sea to the east all
ὑπακούειν ἐς ὅ τι προστάσσοι Κάσσιος ἢ Βροῦτος.
to-obey in what (thing) might-order Cassius or Brutus

IX · FORUM GALLORUM

Octavian sees the senate exalting Brutus and Cassius and suspects its purposes, but he accepts his propraetorship. While Cicero levies money in Rome, Ventidius raises legions for Antony. Near Forum Gallorum Antony ambushes Pansa's column in the marshes; the Martian legion meets two of Antony's legions, and the praetorian cohorts fight apart, in a silent, savage battle. Octavian's praetorians are destroyed, Pansa is wounded, and the recruits are cut down, until Hirtius, coming up fresh, defeats Antony's wearied men.

ὧδε μὲν ὀξέως σὺν ἀφορμῇ τοὺς ἀμφὶ τὸν Κάσσιον 64
thus indeed sharply with opportunity the(-men) around — Cassius
ἐξελάμπρυνον, καὶ ὁ Καῖσαρ ἕκαστα μαθὼν ἠπόρητο,
they-glorified and — Caesar each(-thing) having-learned was-at-a-loss
τὴν μὲν ἀμνηστίαν ἡγούμενος εὐπρέπειαν ἐσχηκέναι
the indeed amnesty thinking a-plausibility to-have-had
φιλανθρωπίας καὶ ἔλεον συγγενῶν ἀνδρῶν καὶ ὁμοτίμων,
of-humanity and pity of-kindred men and equals-in-rank
καὶ τὰς βραχυτέρας ἡγεμονίας ἀσφάλειαν· Δέκμῳ
and the lesser commands safety and-to-Decimus
τε τὴν Κελτικὴν βεβαιοῦντας Ἀντωνίῳ δόξαι περὶ
both — Celtica confirming with-Antony to-seem about
τυραννίδος διαφέρεσθαι, ᾧ προσποιήματι καὶ αὑτὸν
tyranny to-differ by-which pretense also himself
ὑπάγεσθαι κατ᾽ Ἀντωνίου· τὸ δὲ καὶ Δολοβέλλαν πολέμιον
to-be-led-on against Antony the but also Dolabella enemy

ψηφίσασθαι δι᾽ ἕνα τῶν ἀνδροφόνων ἀναιρεθέντα
to-vote because-of one of-the murderers slain
καὶ Βρούτῳ καὶ Κασσίῳ τὰς ἡγεμονίας ἐς τὰ μέγιστα
and to-Brutus and to-Cassius the commands to the greatest
ἔθνη διαλλάξαι στρατόπεδά τε δοῦναι πολλὰ ἀθρόως
provinces to-change armies both to-give many at-once
καὶ χρήματα καὶ ἡγεμόνας ἡγεμονῶν ἀποφῆναι πάντων,
and money and commanders of-commanders to-declare of-all
ὅσοι πέραν εἰσὶ τῆς Ἰονίου θαλάσσης, σαφῶς εἶναι
as-many-as beyond are the Ionian sea plainly to-be
τὴν μὲν Πομπηίου μοῖραν αὐξόντων, τὴν δὲ Καίσαρος
the indeed of-Pompey party increasing the but of-Caesar
καθαιρούντων. ἐνεθυμεῖτο δὲ καὶ τῆς ἐς αὑτὸν ὡς
pulling-down he-reflected and also on-the toward himself as
μειράκιον τέχνης, εἰκόνα μὲν αὐτῷ καὶ προεδρίαν
a-stripling artifice a-statue indeed to-him and front-seat
παρασχόντων καὶ ἀντιστράτηγον ἀποφηνάντων, ἔργῳ δὲ
having-granted and propraetor having-declared in-fact but
ἴδιον αὑτοῦ τὸν στρατὸν ὄντα ἀφαιρουμένων· ὑπάτων γὰρ
own of-him the army being taking-away consuls for
συστρατηγούντων οὐδὲν εἶναι τὸν ἀντιστράτηγον. τά τε
sharing-command nothing to-be the propraetor the both
γέρα τοῖς ἀπὸ Ἀντωνίου μόνοις μεταστᾶσιν ἐψηφισμένα
prizes to-the(-men) from Antony only having-gone-over voted
τοὺς αὐτῷ στρατευομένους ἀτιμοῦν· καὶ τὸν πόλεμον
the(-men) for-him serving to-dishonor and the war
ὅλως αὐτῷ μὲν αἰσχύνην ἔχειν, ἔργῳ δὲ τὴν βουλὴν
wholly for-him indeed disgrace to-have in-fact but the senate
ἀποχρῆσθαί οἱ κατὰ Ἀντωνίου, μέχρι καθέλωσιν αὐτόν.
to-misuse him against Antony until they-destroy him

ταῦτα λογιζόμενος ἐπέκρυπτε καὶ θύων ἐπὶ τῇ δεδομένῃ 65
these-things reckoning he-concealed(-it) and sacrificing for the given
ἀρχῇ πρὸς τὸν στρατὸν ἔφη· "καὶ τάδε μοι παρ' ὑμῶν,
office to the army he-said and these to-me from you
ὦ συστρατιῶται, γέγονεν, οὐ νῦν, ἀλλ' ἐξ οὗ τὴν ἀρχὴν
O fellow-soldiers have-come not now but from when the office
ἐδίδοτε· καὶ γὰρ ἡ βουλὴ δι' ὑμᾶς ἔδωκεν. ὥστε ἐμὲ
you-gave and for the senate because-of you gave(-it) so-that me
καὶ τούτων ἴστε τὴν χάριν ὑμῖν ὀφλήσοντα καί, ἢν οἱ θεοὶ
also for-these know the gratitude to-you going-to-owe and if the gods
παρέχωσιν εὐπραγεῖν, ἀποδώσοντα ἀθρόως". ὁ μὲν οὑτωσὶ
grant to-prosper going-to-repay(-it) all-at-once he indeed in-this-way
τὸν στρατὸν οἰκειούμενος ὑπήγετο, τῶν δὲ ὑπάτων Πάνσας
the army winning-over was-leading-on of-the and consuls Pansa
μὲν ἀνὰ τὴν Ἰταλίαν ἐξενάγει, Ἵρτιος δὲ τῷ Καίσαρι
indeed throughout — Italy levied Hirtius and — with-Caesar
τὸν στρατὸν ἐμερίζετο καί, ὡς αὐτῷ παρὰ τῆς βουλῆς ἐν
the army divided and as to-him by the senate in
ἀπορρήτῳ λέλεκτο, ἐς τὸ μέρος ᾔτει τὰ δύο τέλη τὰ
secret it-had-been-said for the share asked the two legions the(-ones)
παρὰ Ἀντωνίου μεταστάντα, εἰδὼς τάδε ὄντα τοῦ στρατοῦ
from Antony having-gone-over knowing these being of-the army
τὸ ἀξιολογώτατον. καὶ ὁ μὲν Καῖσαρ ἅπαντα συνεχώρει,
the most-notable(-part) and — indeed Caesar everything yielded
μερισάμενοι δὲ ἐχείμαζον μετ' ἀλλήλων· παροδεύοντος δὲ
having-divided and they-wintered with one-another passing and
τοῦ χειμῶνος ἤδη Δέκμος μὲν ἔκαμνεν ὑπὸ λιμοῦ, Ἵρτιος
the winter already Decimus indeed was-suffering from famine Hirtius
δὲ καὶ Καῖσαρ ἐς τὴν Μουτίνην ἐχώρουν, μὴ κάμνοντα τὸν
and and Caesar to — Mutina advanced lest suffering the
Δέκμου στρατὸν ὁ Ἀντώνιος παραλάβοι. ἀκριβῶς δὲ τῆς
of-Decimus army — Antony should-take-over exactly and —

Μουτίνης φυλασσομένης ὑπὸ τοῦ Ἀντωνίου, πανσυδὶ μὲν
Mutina being-guarded by — Antony in-full-force indeed
οὐ συνεπλέκοντο αὐτῷ Πάνσαν περιμένοντες, ἱππομαχίαι
not engaged him Pansa awaiting cavalry-battles
δ' ἦσαν πυκναί, πολὺ μὲν πλείους ἱππέας ἔχοντος
but were frequent much indeed more cavalry having
Ἀντωνίου· τοῦ πεδίου δὲ ἡ δυσχέρεια, διὰ χειμάρρους
Antony of-the plain but the difficulty because-of torrents
ἐκτεταφρευμένου, τὴν πλεονεξίαν τὸ πλῆθος ἀπεστέρει.
trenched the advantage the number robbed
66 καὶ τάδε μὲν ἦν ἀμφὶ τῇ Μουτίνῃ, τὰ δ' ἐν
and these-things indeed were around — Mutina the(-affairs) and in
Ῥώμῃ τῶν ὑπάτων οὐ παρόντων ὁ Κικέρων ἦγεν ὑπὸ
Rome the consuls not being-present — Cicero led from
δημοκοπίας· καὶ συνεχεῖς ἦσαν ἐκκλησίαι, ὅπλα τε εἰργάζετο
popularity-seeking and continual were assemblies arms both he-made
συναγαγὼν τοὺς δημιουργοὺς ἀμισθὶ καὶ χρήματα συνέλεγε
having-gathered the craftsmen unpaid and money he-collected
καὶ βαρυτάτας ἐσφορὰς τοῖς Ἀντωνίου φίλοις ἐπετίθει. οἱ
and heaviest levies on-the of-Antony friends imposed they
δὲ ἑτοίμως ἐσέφερον ἐκλυόμενοι τὴν διαβολήν, μέχρι
and readily paid releasing-themselves-from the slander until
Πούπλιος Οὐεντίδιος, ἐστρατευμένος τε Γαΐῳ Καίσαρι
Publius Ventidius having-served both with-Gaius Caesar
καὶ Ἀντωνίῳ φίλος ὤν, οὐκ ἤνεγκε τὴν βαρύτητα τοῦ
and to-Antony friend being not bore the oppressiveness —
Κικέρωνος, ἀλλ' ἐς τὰς Καίσαρος ἀποικίας ἐκδραμὼν ὡς
of-Cicero but to the of-Caesar colonies having-run-out as
γνώριμος δύο ἐς τὸν Ἀντώνιον ἀνεστράτευσε τέλη καὶ ἐς
well-known two for — Antony raised legions and to
τὴν Ῥώμην συλλαβεῖν Κικέρωνα ἠπείγετο. τότε μὲν δὴ
— Rome to-seize Cicero hastened then indeed indeed

θόρυβός τε ἦν ἄπλετος, καὶ τέκνα καὶ γυναῖκας ὑπεξέφερον
uproar both was boundless and children and wives carried-out
οἱ πλείους μετὰ δυσελπιστίας, καὶ ὁ Κικέρων τῆς πόλεως
the most with despair and — Cicero from-the city
ἀπεδίδρασκε. καὶ ὁ Οὐεντίδιος μαθὼν ἐς τὸν Ἀντώνιον
ran-away and — Ventidius having-learned(-it) to — Antony
ἀνέστρεφε. διακλειόμενος δὲ ὑπὸ Καίσαρός τε καὶ Ἱρτίου
turned-back being-shut-out but by Caesar both and Hirtius
ἐς τὴν Πικηνίτιδα παρῆλθε καὶ τέλος ἄλλο συλλογίσας
into — Picenum passed and legion another having-gathered
ἐφήδρευε τοῖς ἐσομένοις. οἱ δὲ ἀμφὶ τὸν Καίσαρα,
lay-in-wait for-the(-things) to-come the(-men) and around — Caesar
τοῦ Πάνσα μετὰ στρατιᾶς πλησιάζοντος, Καρσουλήιον
— Pansa with army approaching Carsuleius
αὐτῷ προσέπεμπον ἄγοντα τὴν Καίσαρος στρατηγίδα
to-him sent leading the of-Caesar praetorian
τάξιν καὶ τὸ Ἄρειον τέλος ἐς βοήθειαν τῆς διόδου τῶν
cohort and the Martian legion for help of-the passage of-the
στενῶν. ὁ δὲ Ἀντώνιος τῶν μὲν στενῶν ὑπερεῖδεν ὡς
narrows — and Antony the indeed narrows disregarded as
οὐδὲν πλέον ἢ κωλύσων ἐν αὐτοῖς, ἐπιθυμίᾳ δὲ ἀγῶνος,
nothing more than going-to-hinder in them by-desire but of-a-contest
οὐκ ἔχων τοῖς ἱππεῦσιν ἐλλαμπρύνασθαι διὰ τὸ πεδίον
not having with-the cavalry to-distinguish-himself because-of the plain
ἑλωδέστερον ὂν καὶ τεταφρευμένον, δύο ἐνήδρευσε
marshy being and trenched two he-placed-in-ambush
τέλη τὰ ἄριστα ἐν τῷ ἕλει, τῆς ὁδοῦ, χειροποιήτου καὶ
legions the best in the marsh the road artificial and
στενῆς οὔσης, ἑκατέρωθεν τῷ δόνακι κρύπτων.
narrow being on-either-side with-the reeds concealing

67 Καρσουληίου δὲ καὶ Πάνσα τὰ στενὰ νυκτὸς διαδραμόντων,
Carsuleius and and Pansa the narrows by-night having-run-through
ἅμα δ' ἡμέρᾳ μόνοις τοῖς Ἀρείοις καὶ πέντε ἄλλαις
together-with and day alone with-the Martians and five other
τάξεσιν ἐς τὴν χειροποίητον ὁδὸν ἐσβαλόντων, ἔτι
cohorts into the artificial road having-burst still
καθαρεύουσαν πολεμίων, καὶ τὸ ἕλος ἑκατέρωθεν ὂν
clear of-enemies and the marsh on-either-side being
περισκεπτομένων, ὅ τε δόναξ διακινούμενος ὑπωπτεύετο,
looking-around the both reeds being-stirred was-suspected
καὶ ἀσπὶς ἤδη που καὶ κράνος ἐξέλαμπε, καὶ ἡ
and a-shield already somewhere and a-helmet flashed and the
στρατηγὶς Ἀντωνίου τάξις αὐτοῖς αἰφνίδιον ἐπεφαίνετο ἐκ
praetorian of-Antony cohort to-them suddenly appeared from
τοῦ μετώπου. οἱ δ' Ἄρειοι περιειλημμένοι τε πάντοθεν καὶ
the front the and Martians having-been-caught both from-all-sides and
οὐδαμόσε διαδραμεῖν ἔχοντες ἐκέλευον τοὺς νεήλυδας, εἰ
nowhere to-run-through having bade the new-arrivals if
παραγένοιντο, μὴ συνεφάπτεσθαι σφίσι τῶν πόνων, ὡς μὴ
they-should-come not to-take-part with-them in-the toils so-that not
συνταράξειαν αὐτοὺς ὑπὸ ἀπειρίας, τῇ στρατηγίδι
they-should-throw-into-confusion them by inexperience to-the praetorian
δὲ Ἀντωνίου τὴν Καίσαρος στρατηγίδα ἀντέταξαν· αὐτοὶ
but of-Antony the of-Caesar praetorian opposed themselves
δὲ ἐς δύο διαιρεθέντες ἐνέβαινον ἐς ἑκάτερον ἕλος, καὶ
and into two having-been-divided went into each marsh and
αὐτοῖς ἐπεστάτουν τῇ μὲν ὁ Πάνσας, τῇ
over-them presided over-the(-one) indeed — Pansa over-the(-other)
δὲ ὁ Καρσουλήιος. δύο δὲ τῶν ἑλῶν ὄντων δύο ἦσαν
and — Carsuleius two and the marshes being two were
οἱ πόλεμοι, τῇ διόδῳ εἰργόμενοι μὴ γινώσκειν τὰ
the battles by-the passage being-kept-apart not to-know the(-things)

ἀλλήλων· καὶ κατὰ τὴν δίοδον αὐτὴν αἱ στρατηγίδες
of-one-another and along the passage itself the praetorians
πόλεμον ἄλλον ἐφ᾽ ἑαυτῶν ἐπολέμουν. γνώμη δὲ ἦν τοῖς
battle another by themselves fought judgment and was to-the(-men)
μὲν Ἀντωνίου τοὺς Ἀρείους ἀμύνασθαι τῆς αὐτομολίας οἷα
indeed of-Antony the Martians to-punish for-the desertion as
προδότας σφῶν γενομένους, τοῖς δ᾽ Ἀρείοις ἐκείνους τῆς
betrayers of-them having-become to-the but Martians those for-the
ὑπεροψίας τῶν ἐν Βρεντεσίῳ διεφθαρμένων. συνειδότες
contempt of-the(-men) at Brundisium destroyed being-aware
τε ἀλλήλοις τὸ κράτιστον ὡς εἴη τῆς ἑκατέρου στρατιᾶς,
both of-one-another the strongest as it-was of-the of-each army
ἤλπιζον ἐν τῷδε τῷ ἔργῳ μόνῳ τὸν πόλεμον κρινεῖν.
they-hoped in this the deed alone the war to-be-going-to-decide
καὶ τοῖς μὲν αἰδὼς ἦν τὸ δύο τέλεσιν οὖσιν δι᾽ ἑνὸς
and to-the(-ones) indeed shame was the two legions being by one
ἡσσᾶσθαι, τοῖς δὲ φιλοτιμία μόνοις τῶν δύο κρατῆσαι.
to-be-defeated to-the(-others) and ambition alone of-the two to-prevail
οὕτω μὲν ἀλλήλοις ἐπῄεσαν διωργισμένοι τε καὶ 68
thus indeed one-another they-attacked enraged both and
φιλοτιμούμενοι, σφίσι μᾶλλον ἢ τοῖς στρατηγοῖς
ambitious for-themselves rather than for-the generals
οἰκεῖον ἡγούμενοι τόδε ἔργον· ὑπὸ δὲ ἐμπειρίας οὔτε
own considering this deed from and experience neither
ἠλάλαξαν ὡς οὐκ ἐκπλήξοντες ἀλλήλους, οὔτε ἐν
they-raised-the-war-cry as not going-to-terrify one-another nor in
τῷ πόνῳ τις αὐτῶν ἀφῆκε φωνὴν οὔτε νικῶν οὔτε
the toil any of-them let-out a-sound neither conquering nor
ἡσσώμενος. περιόδους δὲ οὐκ ἔχοντες οὔτε δρόμους ὡς
being-defeated circuits and not having nor charges as
ἐν ἕλεσι καὶ τάφροις, ἀραρότως συνίσταντο, καὶ οὐδέτεροι
in marshes and ditches compactly they-closed and neither

τοὺς ἑτέρους ὥσασθαι δυνάμενοι τοῖς ξίφεσιν ὡς ἐν πάλῃ
the others to-thrust-back being-able with-the swords as in wrestling
συνεπλέκοντο. πληγή τε οὐδεμία ἦν ἀργός, ἀλλὰ τραύματα
they-grappled a-blow and no was idle but wounds
καὶ φόνοι καὶ στόνοι μόνον ἀντὶ βοῆς· ὅ τε πίπτων
and slaughter and groans only instead-of shouting the(-man) and falling
εὐθὺς ὑπεξεφέρετο, καὶ ἄλλος ἀντικαθίστατο. παραινέσεων
at-once was-carried-out and another was-set-in-his-place exhortations
δὲ ἢ ἐπικελεύσεων οὐκ ἐδέοντο, δι' ἐμπειρίαν ἕκαστος
and or encouragements not they-needed through experience each
ἑαυτοῦ στρατηγῶν. ὅτε δὲ καὶ κάμοιεν, ὥσπερ ἐν τοῖς
himself generaling when and also they-grew-tired as in the
γυμνικοῖς ἐς ἀναπνοὴν ὀλίγον ἀλλήλων διίσταντο καὶ
gymnastic(-contests) for breathing little from-one-another stood-apart and
αὖθις συνεπλέκοντο. θάμβος τε ἦν τοῖς νεήλυσιν ἐπελθοῦσι,
again grappled amazement both was to-the new-arrivals having-come-up
τοιάδε ἔργα σὺν εὐταξίᾳ καὶ σιωπῇ γιγνόμενα ἐφορῶσι.
such deeds with good-order and silence happening watching
69 πονουμένων δὲ ὧδε πάντων ὑπὲρ φύσιν ἀνθρωπίνην, ἡ
toiling and thus all beyond nature human the
μὲν στρατηγὶς ἡ Καίσαρος ἅπασα διεφθάρη, τῶν δὲ
indeed praetorian the of-Caesar whole was-destroyed of-the and
Ἀρείων οἱ μὲν ὑπὸ τῷ Καρσουληίῳ μᾶλλον ἐκράτουν
Martians the(-ones) indeed under — Carsuleius rather prevailed
τῶν κατὰ σφᾶς, οὐκ αἰσχρῶς, ἀλλὰ κατ' ὀλίγον
over-the(-men) against them not shamefully but by little
ἐνδιδόντων, οἱ δὲ ὑπὸ τῷ Πάνσᾳ τὸν αὐτὸν τρόπον
giving-way the(-others) and under — Pansa the same way
ἐβαροῦντο, διεκαρτέρουν δ' ὅμως ἐπ' ἴσης ἑκάτεροι,
were-hard-pressed held-out but nevertheless on equal(-terms) both
μέχρι Πάνσας ὀβελῷ τὴν λαγόνα τρωθεὶς ἐς Βονωνίαν
until Pansa by-a-dart the flank wounded to Bononia

ἐξεφέρετο. τότε γὰρ οἱ κατ᾽ αὐτὸν ἀνεχώρουν, ἐπὶ πόδα
was-carried-out then for the(-men) around him withdrew on foot
πρῶτον, εἶτα μεταβαλόντες ὀξύτερον ὡς ἐν φυγῇ. καὶ οἱ
first then having-turned more-quickly as in flight and the
νεήλυδες ἰδόντες ἔφευγον ἀτάκτως καὶ μετὰ βοῆς ἐς τὸ
new-arrivals having-seen(-it) fled in-disorder and with shouting to the
χαράκωμα, ὅπερ αὐτοῖς ἐξείργαστο ὁ ταμίας Τορκουᾶτος
palisade which for-them had-been-built-out the quaestor Torquatus
συνεστώσης ἔτι τῆς μάχης, ὑπονοήσας ἐν χρείᾳ γενήσεσθαι.
standing still the battle having-suspected in need it-would-be
οἱ μὲν δὴ νεήλυδες ἐς αὐτὸ ἀτάκτως συνειλοῦντο,
the indeed indeed new-arrivals into it in-disorder crowded
Ἰταλοὶ μὲν ὄντες ὁμοίως τοῖς Ἀρείοις· ἡ δὲ ἄσκησις ἄρα
Italians indeed being like to-the Martians the but training then
τοῦ γένους ἐς τοσοῦτον ἀρετῇ διαφέρει. οἱ δὲ Ἄρειοι οὐκ
of-the race to such-a-degree in-valor differs the and Martians not
ἐσῆλθον μὲν ἐς τὸ χαράκωμα αὐτοὶ ὑπὸ ἀδοξίας, ἀλλὰ
entered indeed into the palisade themselves from disgrace but
παρ᾽ αὐτὸ ἔστησαν· κατάκοποι δὲ ὄντες ὤργων ὅμως, εἴ
beside it stood exhausted but being were-eager nevertheless if
τις ἐπίοι, μέχρι τοῦ ἀναγκαίου τέλους διαγωνίσασθαι.
anyone should-attack until the necessary end to-fight-it-out
Ἀντώνιος δὲ τῶν μὲν Ἀρείων ἀπέσχετο ὡς ἐπιπόνων,
Antony and from-the indeed Martians held-off as toilsome
τοῖς δὲ νεήλυσιν ἐπιδραμὼν πολὺν εἰργάζετο φόνον.
to-the but new-arrivals having-charged great wrought slaughter
Ἵρτιος δὲ ἐν Μουτίνῃ τῆς μάχης πυθόμενος, ἑξήκοντα στάδια 70
Hirtius and in Mutina the battle having-learned sixty stades
ἀπεχούσης, ἵετο δρόμῳ μετὰ τοῦ ἑτέρου τέλους τῶν ἀπὸ
being-distant hurried at-a-run with the other legion of-the(-men) from
Ἀντωνίου μεταστάντων. ἤδη τε ἦν ὀψία δείλη, καὶ οἱ
Antony having-gone-over already and it-was late afternoon and the(-men)

νικήσαντες τῶν Ἀντωνίου παιανίζοντες ἐπανῄεσαν· καὶ αὐτοῖς
having-conquered of-the of-Antony singing-paeans were-returning and to-them
ὁ Ἵρτιος ἀσυντάκτοις οὖσιν ἐπιφαίνεται συντεταγμένος
— Hirtius disordered being appears in-order
ὁλοκλήρῳ τέλει καὶ ἀπαθεῖ. οἱ δὲ συνετάχθησαν μὲν αὖθις
with-a-whole legion and unharmed they and were-drawn-up indeed again
ὑπ᾽ ἀνάγκης, καὶ πολλὰ καὶ πρὸς τούσδε ἔργα λαμπρὰ
from necessity and many(-things) also against these deeds brilliant
ἐπεδείξαντο· οἷα δὲ ἀκμήτων ἡσσῶντο κεκμηκότες, καὶ
displayed as and of-unwearied(-men) were-defeated being-wearied and
τὸ πλεῖστον αὐτῶν μάλιστα τὸ ἔργον Ἱρτίου διέφθειρε,
the most of-them most the deed of-Hirtius destroyed
καίπερ οὐ διώκοντος αὐτοὺς ὑπὸ φόβου τῶν ἑλῶν, καὶ
though not pursuing them from fear of-the marshes and
τῆς ἑσπέρας ἤδη μελαινομένης διέλυσεν αὐτούς. καὶ τὸ
the evening already darkening he-broke-off them and the
ἕλος ἐπὶ πλεῖστον ἐπεπλήρωτο ὅπλων τε καὶ νεκρῶν
marsh to the-most was-filled with-arms both and corpses
καὶ ἀνδρῶν ἡμιθνήτων καὶ τετρωμένων· οἱ δὲ καὶ
and men half-dead and wounded the(-men) and also
ἐρρωμένοι σφῶν ὑπὸ τοῦ κόπου κατεφρόνουν. ἱππεῖς δὲ
unhurt of-them from the weariness disregarded(-them) horsemen and
αὐτοὺς ἐξ Ἀντωνίου περιθέοντες, ὅσοι παρήσπιζον
them from Antony riding-round as-many-as were-at-hand
αὐτῷ, δι᾽ ὅλης τῆς νυκτὸς ἀνελέγοντο καὶ τοὺς μὲν
to-him through whole the night picked-up and the(-ones) indeed
ἀντὶ σφῶν αὐτῶν, τοὺς δὲ σὺν ἑαυτοῖς ἐπὶ τοὺς
instead-of them- -selves the(-others) and with themselves upon the
ἵππους ἀνετίθεντο ἢ τῆς οὐρᾶς ἀντεχομένους παρεκάλουν
horses they-set or of-the tail holding urged
παρατροχάζειν καὶ βοηθεῖν σφίσιν ἐς τὴν σωτηρίαν. ὧδε
to-run-alongside and to-help themselves to the safety thus

μὲν Ἀντωνίῳ καλῶς ἀγωνισαμένῳ διέφθαρτο ἡ ἰσχὺς
indeed for-Antony well having-fought had-been-destroyed the strength
διὰ Ἵρτιον ἐπελθόντα. καὶ ηὐλίσατο ἐν κώμῃ παρὰ τὸ
because-of Hirtius having-come-up and he-camped in a-village by the
πεδίον ἀχαρακώτως· Ἀγορὰ Κελτῶν ἡ κώμη καλεῖται.
plain without-palisade Forum of-Gauls the village is-called
ἔπεσον δὲ τῶν μὲν ἄλλων ἀμφὶ τοὺς ἡμίσεας ἑκατέρων,
fell and of-the indeed others about the halves of-each
καὶ ἡ στρατηγὶς ἡ Καίσαρος ἅπασα, Ἱρτίου δὲ ὀλίγοι.
and the praetorian the of-Caesar whole of-Hirtius and few

X · MUTINA

Hirtius and Octavian attack Antony's lines before Mutina; Hirtius falls in Antony's camp, and Octavian recovers his body. Antony withdraws toward the Alps. Decimus, freed, asks to meet Octavian, who refuses to treat with a murderer. The senate grants fifty days of thanksgiving and gives the consuls' army to Decimus, naming Octavian nowhere. The dying Pansa tells Octavian that the senate means to destroy Caesar's party and that he and Hirtius had meant to reconcile Antony with him.

τῆς δ' ἐπιούσης ἀνεζεύγνυον ἐς τὰ ἐν τῇ Μουτίνῃ 71
on-the and following(-day) they-moved-camp to the at — Mutina
στρατόπεδα πάντες. γνώμη δὲ ἦν Ἀντωνίῳ μὲν ἐπὶ τοσῷδε
camps all judgment and was for-Antony indeed after so-great
πταίσματι μὴ ἐπιχειρεῖν ἔτι τοῖς ἐχθροῖς μεγάλῃ μάχῃ μηδ'
a-defeat not to-attack still the enemies in-a-great battle nor
ἐπιόντων ἀμύνεσθαι, διὰ δὲ τῶν ἱππέων τὰ ἐφήμερα
attacking(-him) to-resist through but the cavalry the daily(-skirmishes)
μόνα αὐτοὺς ἐνοχλεῖν, μέχρι παραδῷη Δέκμος αὑτὸν ἐς
only them to-harass until should-surrender Decimus himself to
ἔσχατον ἤδη λιμοῦ τετρυμένος, Ἱρτίῳ δὲ καὶ Καίσαρι
extremity already of-famine worn-down for-Hirtius and and for-Caesar

διὰ τοῦτο μάλιστα τὰ ἐς τὴν μάχην ἐπείγεσθαι.
because-of this most the(-things) for the battle to-press
ἐπεὶ δ' ἐκτάσσουσιν αὐτοῖς ὁ Ἀντώνιος οὐκ ἐπεξῆγεν,
when and drawing-up for-them — Antony not led-out
ἐς τὰ ἐπὶ θάτερα τῆς Μουτίνης ἀφυλακτότερα ὄντα
to the(-parts) on the-other-side — of-Mutina less-guarded being
διὰ δυσχέρειαν ἐχώρουν ὡς βιασόμενοι βαρεῖ στρατῷ
because-of difficulty they-went as going-to-force with-a-heavy army
παρεσελθεῖν ἐς αὐτήν. καὶ ὁ Ἀντώνιος αὐτῶν ἐξήπτετο
to-get-in into it and — Antony them fastened-on
τοῖς ἱππεῦσι καὶ τότε μόνοις. ἀμυνομένων δὲ κἀκείνων
with-the cavalry and then alone defending and those-too
αὐτὸν ἱππεῦσι μόνοις καὶ τῆς ἄλλης στρατιᾶς χωρούσης, ἐφ'
him with-cavalry alone and the other army going to
ἃ ἐβούλοντο, δείσας ὁ Ἀντώνιος περὶ τῇ Μουτίνῃ ἐξῆγε
what they-wished having-feared — Antony about — Mutina led-out
δύο τέλη· οἱ δὲ ἡσθέντες ἐπέστρεφον καὶ ἐμάχοντο. ἄλλα
two legions they and pleased turned-round and fought other
δὲ Ἀντωνίου τέλη καλοῦντος ἐκ τῶν ἄλλων στρατοπέδων,
and of-Antony legions summoning from the other camps
ὧν βραδέως ὡς ἐν αἰφνιδίῳ τε μετακλήσει καὶ μακρόθεν
of-which slowly as in sudden both recall and from-afar
ἰόντων ἐκράτουν οἱ τοῦ Καίσαρος τῇ μάχῃ. Ἵρτιος
coming prevailed the(-men) — of-Caesar in-the battle Hirtius
δὲ καὶ ἐς τὸ στρατόπεδον ἐσήλατο τοῦ Ἀντωνίου καὶ
and even into the camp leapt — of-Antony and
περὶ τὴν στρατηγίδα σκηνὴν μαχόμενος ἔπεσε. καὶ αὐτοῦ
around the general's tent fighting fell and of-him
τό τε σῶμα ὁ Καῖσαρ ἐσδραμὼν ἀνείλετο καὶ τοῦ
the both body — Caesar having-run-in took-up and the

στρατοπέδου κατέσχεν, ἕως μετ᾽ ὀλίγον ἐξεώσθη πρὸς
camp held until after a-little(-while) he-was-thrust-out by
Ἀντωνίου. διενυκτέρευσαν δὲ καὶ ἐν τοῖς ὅπλοις ἑκάτεροι.
Antony spent-the-night and also in the arms both
καὶ ὁ Ἀντώνιος δευτέρᾳ τῇδε συμπεσὼν πληγῇ 72
and — Antony second this having-met-with blow
συνεβουλεύετο τοῖς φίλοις εὐθὺς ἀπὸ τοῦ πόνου. καὶ
took-counsel with-the friends at-once after the toil and
τοῖς μὲν ἐδόκει τῆς προτέρας αὐτὸν γνώμης ἔχεσθαι,
to-the(-ones) indeed it-seemed the former him plan to-hold
πολιορκοῦντα Μουτίνην καὶ ἐς μάχην οὐκ ἐπεξιόντα· τό
besieging Mutina and to battle not going-out the
τε γὰρ πάθος ὅμοιον ἀμφοῖν γεγονέναι καὶ Ἵρτιον
both for disaster like for-both to-have-happened and Hirtius
ἀνῃρῆσθαι καὶ Πάνσαν νοσεῖν καὶ σφᾶς τοῖς ἱππεῦσι
to-have-been-killed and Pansa to-be-sick and themselves in-the cavalry
πλεονεκτεῖν Μουτίνην τε ἐς ἔσχατον ἀφῖχθαι λιμοῦ καὶ
to-have-the-advantage Mutina both to extremity to-have-come of-famine and
εὐθὺς ἐνδώσειν. ὧδε μὲν ἤρεσκε τοῖς φίλοις, καὶ ἦν τὰ
at-once to-be-going-to-yield thus indeed it-pleased the friends and it-was the
ἄριστα· ὁ δὲ Ἀντώνιος, ἤδη θεοῦ βλάπτοντος, ἐδεδοίκει,
best — but Antony already a-god harming(-him) feared
μὴ ἐς τὴν Μουτίνην ὁ Καῖσαρ, ὥσπερ ἐχθὲς ἐπιχειρήσας,
lest into — Mutina — Caesar as yesterday having-attempted
ἐσδράμοι ἢ αὐτὸν ἐπιχειρήσειε περιτειχίζειν, πλέον ἔχων τὸ
might-break or himself might-attempt to-wall-in more having the
ἐργάσιμον, "ἐν ᾧ καὶ τῶν ἱππέων", ἔφη, "γιγνομένων
working-force in which also the cavalry he-said becoming
ἡμῖν ἀχρήστων, ὑπερόψεταί με Λέπιδος καὶ Πλάγκος
to-us useless will-disregard me Lepidus and Plancus
ἡττώμενον. εἰ δὲ Μουτίνης ἐξαναστᾶμεν, Οὐεντίδιός τε ἡμῖν
being-defeated if but from-Mutina we-should-withdraw Ventidius both to-us

αὐτίκα προσέσται, τρία τέλη φέρων ἐκ τῆς Πικηνίτιδος,
at-once will-join three legions bringing from — Picenum
καὶ Λέπιδος καὶ Πλάγκος ἐρρωμένως οἱ συμμαχήσουσι".
and Lepidus and Plancus vigorously to-me will-fight-as-allies
ταῦτα ἔλεγεν, οὐκ ἄτολμος ἐν τοῖς κινδύνοις ἀνήρ, καὶ
these-things he-said not cowardly in the dangers a-man and
εἰπὼν εὐθὺς ἀνίστατο καὶ ὥδευεν ἐπὶ τῶν Ἄλπεων.
having-said at-once broke-camp and marched to — Alps
73 Δέκμῳ δὲ ἀπαλλαγέντι τῆς πολιορκίας ὁ φόβος ἐς
for-Decimus and having-been-freed from-the siege the fear to
τὸν Καίσαρα ἐνηλλάσσετο· τῶν γὰρ ὑπάτων ἐκποδὼν
— Caesar was-transferred of-the for consuls out-of-the-way
γενομένων ὡς ἐχθρὸν ἐδεδοίκει. τάς τε οὖν γεφύρας τοῦ
having-become as an-enemy he-feared(-him) the both then bridges of-the
ποταμοῦ διέκοπτε πρὸ ἡμέρας καὶ κελητίῳ τινὰς ἐς
river he-cut before day and in-a-light-boat some to
τὸν Καίσαρα ἀποστέλλων ἐμαρτύρει μὲν ὡς αἰτίῳ
— Caesar sending he-acknowledged(-him) indeed as cause
τῆς σωτηρίας, ἠξίου δὲ μέσον ἔχοντα τὸν ποταμὸν ἐς
of-his safety asked but between having the river to
λόγους οἱ συνελθεῖν ἐπὶ μάρτυσι τοῖς πολίταις·
words with-him to-come-together before witnesses the citizens
πείσειν γάρ, ὅτι δαιμόνιον αὐτὸν ἔβλαψεν, ἐς
he-would-persuade(-him) for that a-divine-power him had-harmed to
τὴν Καίσαρος ἐπιβουλὴν ἐπηγμένον ὑφ' ἑτέρων. Καίσαρος
the of-Caesar plot led-on by others Caesar
δὲ τοῖς ἥκουσιν ἀποκριναμένου τε πρὸς ὀργὴν καὶ
but to-the(-men) having-come having-answered both with anger and
τὴν χάριν, ἣν δίδωσίν οἱ Δέκμος, διωθουμένου ("οὐδὲ
the gratitude which gives to-him Decimus pushing-away not
γὰρ Δέκμον ἐγὼ πάρειμι περισώσων, ἀλλ' Ἀντωνίῳ
for Decimus I am-present to-save but against-Antony

πολεμήσων, ᾧ μοι καὶ συναλλαγῆναί ποτε θέμις·
to-make-war with-whom for-me even to-be-reconciled ever right(-is)
Δέκμῳ δὲ ἡ φύσις οὐδὲ ἐς ὄψιν ἢ λόγους ἐλθεῖν
with-Decimus but the nature not-even to sight or words to-come
ἐπιτρέπει· σωζέσθω μέντοι, μέχρι τοῖς ἐν ἄστει
permits let-him-be-safe however as-long-as to-the(-men) in city
δοκεῖ"), πυθόμενος τούτων ὁ Δέκμος ἔστη τε πρὸ τοῦ
it-seems having-learned these-things — Decimus stood both before the
ποταμοῦ καὶ καλῶν ὀνομαστὶ τὸν Καίσαρα, σὺν βοῇ
river and calling by-name — Caesar with shouting
τὰ γράμματα τῆς βουλῆς ἀνεγίνωσκε, διδούσης οἱ τὴν
the letter of-the senate read giving to-him the
Κελτικὴν ἡγεμονίαν, ἀπηγόρευέ τε Καίσαρι χωρὶς ὑπάτων
Celtic command he-forbade both to-Caesar without consuls
μὴ περᾶν τὸν ποταμὸν ἐς ἀλλοτρίαν ἡγεμονίαν μηδὲ ἐπὶ
not to-cross the river into another's command nor against
Ἀντώνιον ἔτι χωρεῖν· αὐτὸς γὰρ αὐτὸν διώκων ἀρκέσειν. ὁ
Antony still to-go himself for him pursuing would-suffice he
δὲ ᾔδει μὲν ὑπὸ τῆς βουλῆς αὐτὸν ἐς τήνδε τὴν θρασύτητα
but knew indeed by the senate him to this the boldness
αὐξανόμενον, δυνηθεὶς δ' ἂν ἐκ προστάγματος ἐλεῖν
raised having-been-able and — from a-command to-take(-him)
ἐφείδετο ἔτι καὶ πρὸς τὸν Πάνσαν ἐς Βονωνίαν τραπεὶς
spared(-him) still and to — Pansa to Bononia having-turned
ἔγραφε τῇ βουλῇ περὶ ἁπάντων. ἔγραφε δὲ καὶ Πάνσας.
wrote to-the senate about all(-things) wrote and also Pansa
καὶ Κικέρων ἐν Ῥώμῃ τὰ μὲν ἐς τὸν δῆμον 74
and Cicero in Rome the(-letter) indeed to the people
ἀνεγίγνωσκεν ὡς ὑπάτου, τὰ δὲ τοῦ Καίσαρος τῇ
read as of-the-consul the(-letter) but — of-Caesar to-the
βουλῇ μόνον· θυσίας τε ἐπ' Ἀντωνίῳ πεντήκοντα ἡμερῶν
senate only sacrifices both for Antony of-fifty days

ἱκεσίους ἐψηφίζετο, ὅσας οὔτε ἐπὶ Κελτοῖς οὔτε ἐπὶ
of-supplication voted as-many-as neither for Gauls nor for
ἄλλῳ πολέμῳ ποτὲ ἐψηφίσαντο Ῥωμαῖοι, καὶ τὸν στρατὸν
other war ever voted Romans and the army
τῶν ὑπάτων ἐδίδου Δέκμῳ καίπερ ἔτι Πάνσα περιόντος
of-the consuls gave to-Decimus though still Pansa surviving
(ἤδη γὰρ ἀπεγιγνώσκετο), στρατηγόν τε τὸν Δέκμον
already for was-despaired-of general both — Decimus
ἀπέφηνεν ἐπ᾽ Ἀντωνίῳ μόνον εἶναι καὶ εὐχὰς δημοσίας
declared against Antony alone to-be and prayers public
ἐποιεῖτο Δέκμον Ἀντωνίου περιγενέσθαι. τοσοῦτος ἦν
made Decimus over-Antony to-overcome so-great was
οἶστρος αὐτῷ κατὰ Ἀντωνίου καὶ ἀπειροκαλία. ἐβεβαίου
frenzy to-him against Antony and tastelessness he-confirmed
τε αὖθις τοῖς δύο τέλεσι τοῖς ἀπὸ Ἀντωνίου μεταστᾶσι
both again for-the two legions the(-ones) from Antony having-gone-over
τὰς ἑκάστῳ προϋπεσχημένας παρὰ τοῦ κοινοῦ Ῥωμαίων
the(-sums) to-each promised-before from the treasury of-Romans
ἐπινικίους δραχμὰς πεντακισχιλίας ὡς ἤδη νενικηκόσι, καὶ
victory drachmas five-thousand as already having-conquered and
στέφανον αὐτοὺς ἐν ταῖς ἑορταῖς αἰεὶ θαλλοῦ περιτίθεσθαι.
a-crown them in the festivals always of-olive to-put-on
περὶ δὲ Καίσαρος οὐδὲν ἦν ἐν τοῖς γραφομένοις, οὐδὲ
about but Caesar nothing was in the(-things) written nor
τοὔνομα ὅλως· οὕτως αὐτίκα κατεφρονεῖτο ὡς Ἀντωνίου
the-name at-all thus at-once he-was-despised as Antony
καθῃρημένου. ἔγραφον δὲ καὶ Λεπίδῳ καὶ Πλάγκῳ καὶ
having-been-destroyed they-wrote and also to-Lepidus and to-Plancus and
Ἀσινίῳ πολεμεῖν, ὅπως πλησιάσειαν Ἀντωνίῳ.
to-Asinius to-make-war so-that they-might-approach Antony

καὶ τάδε μὲν ἦν τὰ ἐν Ῥώμῃ, Πάνσας δ' ἐκ
and these-things indeed were the(-affairs) in Rome Pansa and from
τοῦ τραύματος ἀποθνήσκων Καίσαρά οἱ παρεστήσατο
the wound dying Caesar to-him summoned
καὶ εἶπεν· "ἐγὼ τῷ σῷ πατρὶ φίλος ἦν ὡς ἐμαυτῷ,
and said I to-the your father friend was as to-myself
ἀναιρεθέντι δὲ οὐκ εἶχον ἐπαμύνειν οὐδὲ τοῖς πλείοσι
having-been-killed but not I-was-able to-avenge(-him) nor with-the majority
μὴ συνίστασθαι, οἷς γε δὴ καὶ σὺ καλῶς ποιῶν
not to-join to-whom at-least indeed also you well doing
ὑπήκουσας, καίτοι στρατὸν ἔχων. δείσαντες δ' ἐν ἀρχῇ
listened though army having fearing but at beginning
σὲ καὶ Ἀντώνιον, φιλοτιμότατον κἀκεῖνον ἐς τὴν
you also Antony most-ambitious him-too toward the
Καίσαρος γνώμην φανέντα, διαφερομένοις ὑμῖν ἐφήσθησαν
of-Caesar policy having-appeared quarreling you they-rejoiced-at
ὡς ἐς ἀλλήλους συντριβησομένοις. ἐπεὶ δέ σε καὶ
as against one-another going-to-be-crushed when and you also
στρατοῦ δεσπότην εἶδον, προσεποιοῦντο εὐπρεπέσι καὶ
of-army master they-saw they-courted(-you) with-specious and
ἀσθενέσι τιμαῖς οἷα μειράκιον. σοβαρωτέρου δέ σου καὶ
feeble honors as a-stripling more-haughty and you and
ἐγκρατεστέρου τιμῆς τότε μάλιστα ὀφθέντος, ὅτε τὴν
more-self-controlled toward-honor then most having-appeared when the
ἀρχὴν ὑπὸ τοῦ στρατοῦ σοι δεδομένην οὐκ ἐδέξω,
office by the army to-you given not you-accepted
διεταράχθησαν καὶ συστρατηγεῖν σε ἡμῖν ἀπέφηναν,
they-were-confounded and to-share-command you with-us declared
ἵνα σου τὰ δύο τέλη τὰ πρακτικώτερα ἀποσπάσωμεν,
so-that of-you the two legions the more-effective we-might-detach
ἐλπίσαντες ἡττηθέντος ὑμῶν τοῦ ἑτέρου τὸν ἕτερον
having-hoped being-defeated of-you the one the other

ἀσθενέστερόν τε καὶ μόνον ἔσεσθαι καὶ μετ᾽ αὐτὸν ἤδη
weaker both and alone to-be-going-to-be and after him already
πᾶσαν τὴν Καίσαρος ἑταιρείαν καθελόντες ἀνάξειν τὴν
all the of-Caesar party having-destroyed to-be-going-to-restore the
Πομπηίου· τόδε γάρ ἐστιν αὐτοῖς τῆς γνώμης τὸ κεφάλαιον.
of-Pompey this for is to-them of-the purpose the sum
76 ἐγὼ δὲ καὶ Ἵρτιος τὸ προστεταγμένον ἐποιοῦμεν μέχρι
I and and Hirtius the(-thing) ordered did until
συστεῖλαι τὸν Ἀντώνιον ἐπιπολάζοντα ὑπεροψίᾳ· ἡττηθέντα
to-humble — Antony being-overweening with-arrogance being-defeated
δὲ σοὶ συναλλάσσειν ἐπενοοῦμεν, ὡς τῇ Καίσαρος
and with-you to-reconcile(-him) we-planned as to-the of-Caesar
φιλίᾳ τόδε χαριστήριον ἔχοντες ἀποδοῦναι καὶ μόνον
friendship this thank-offering having to-pay and alone
τῇ μοίρᾳ χρησιμώτατον ἐσόμενον ἐς τὰ μέλλοντα. τοῦτο
for-the party most-useful going-to-be for the future this
στρατιῶταί τι προσκρούσαντες ἔκτειναν, οἳ καὶ τὸν
soldiers somewhat having-been-offended killed who also the
πατέρα ἀνῃρήκεσαν. Θουράνιος δὲ οὐ στρατηγῶν μὲν ἔτι,
father had-killed Thuranius and not being-praetor indeed still
ἀλλ' ἐστρατηγηκώς, πατὴρ δὲ νεανίου τὰ μὲν ἄλλα
but having-been-praetor father and of-a-young-man the indeed other(-things)

ἀκολάστου, δυναστεύοντος δὲ παρ᾽ Ἀντωνίῳ, τοὺς λοχαγοὺς
dissolute being-powerful but with Antony the centurions
ἠξίου τὴν σφαγὴν ἐπισχεῖν οἱ πρὸς ὀλίγον, ἔστε αὐτὸν
asked the slaughter to-delay for-him for a-little until him
ὁ υἱὸς αἰτήσαιτο παρ᾽ Ἀντωνίου. οἳ δ᾽ ἐπιγελάσαντες
the son should-beg-off from Antony they and having-laughed
"ᾔτησεν", εἶπον, "ἀλλ᾽ ἐπὶ θάτερα". καὶ συνεὶς ὁ
he-did-beg said(-they) but to the-other-side and understanding the
πρεσβύτης ἕτερον αὐτίκα βραχύτατον ᾔτει διάστημα, μέχρις
old-man another at-once briefest asked interval until
οὗ τὴν θυγατέρα ἴδοι· ἰδὼν δὲ ἐκέλευε μὴ μετασχεῖν
which the daughter he-might-see having-seen and bade(-her) not to-share
τῶν πατρῴων, μὴ κἀκείνην ὁ ἀδελφὸς αἰτήσαιτο παρὰ
the paternal(-goods) lest her-too the brother should-beg from
Ἀντωνίου. συνέβη δὲ καὶ τῷδε τὴν οὐσίαν ἐς αἰσχρὰ
Antony it-happened and also to-this(-man) the property on shameful(-things)
δαπανῆσαι καὶ κλοπῆς ἁλόντι φυγεῖν ἐκ καταδίκης.
to-spend and for-theft having-been-convicted to-flee from condemnation

19 Κικέρων δέ, ὃς μετὰ Γάιον Καίσαρα ἴσχυσεν, ὅση
Cicero and who after Gaius Caesar had-power as-much-as
γένοιτο ἂν δημαγωγοῦ μοναρχία, κατέγνωστο μὲν ἅμα
would-be — of-a-demagogue monarchy had-been-condemned indeed together-with
τῷ παιδὶ καὶ τῷ ἀδελφῷ καὶ τῷ παιδὶ τοῦ ἀδελφοῦ καὶ
the son and the brother and the son of-the brother and
πᾶσιν οἰκείοις τε καὶ στασιώταις καὶ φίλοις, φυγὼν δὲ
all kinsmen both and partisans and friends having-fled and
ἐπὶ σκάφους οὐκ ἔφερε τὴν ἀηδίαν τοῦ κλύδωνος, ἀλλὰ
on a-skiff not he-bore the unpleasantness of-the surf but
εἰς ἴδιον χωρίον, ὃ καθ᾽ ἱστορίαν τοῦδε τοῦ πάθους εἶδον,
to own estate which for research of-this the suffering I-saw
ἀμφὶ Καιήτην πόλιν τῆς Ἰταλίας, καταχθεὶς ἠρέμει.
near Caieta city — of-Italy having-been-brought-in he-rested

πλησιαζόντων δὲ τῶν ἐρευνωμένων (τοῦτον γὰρ δὴ
approaching and the(-men) searching this(-man) for indeed
φιλοτιμότατα πάντων Ἀντώνιός τε ἐζήτει καὶ Ἀντωνίῳ
most-zealously of-all Antony both sought and for-Antony
πάντες) ἐς τὸ δωμάτιον αὐτοῦ κόρακες ἐσπτάντες ἔκλαζον,
all into the room of-him ravens having-flown-in croaked
ἐπεγείροντες ἀπὸ τοῦ ὕπνου, καὶ τὸ ἱμάτιον ἀπέσυρον
waking(-him) from the sleep and the cloak dragged-off
ἀπὸ τοῦ σώματος, ἕως οἱ θεράποντες, σημηνάμενοι
from the body until the servants having-taken-as-a-sign
τὸ γιγνόμενον εἶναι σύμβολον ἔκ του θεῶν, ἐς
the(-thing) happening to-be a-sign from some of-the-gods into
φορεῖον ἐσθέμενοι τὸν Κικέρωνα αὖθις ἐπὶ τὴν θάλασσαν
a-litter having-put — Cicero again to the sea
ἦγον διὰ λόχμης βαθείας λανθάνοντες. πολλῶν δὲ ἀνὰ
led through thicket deep escaping-notice many and by
μέρη διαθεόντων τε καὶ πυνθανομένων, εἴ που Κικέρων
parts running-about both and inquiring if anywhere Cicero
ὁραθείη, οἱ μὲν ἄλλοι ἐπ᾽ εὐνοίᾳ καὶ ἐλέῳ πλεῖν αὐτὸν
had-been-seen the indeed others from goodwill and pity to-be-sailing him
ἐξαναχθέντα ἔλεγον ἤδη, σκυτοτόμος δὲ πελάτης Κλωδίου,
having-put-out-to-sea said already a-shoemaker but client of-Clodius
πικροτάτου τῷ Κικέρωνι ἐχθροῦ γεγονότος, Λαίνᾳ τῷ
most-bitter — to-Cicero enemy having-been to-Laenas the
λοχαγῷ σὺν ὀλίγοις ὄντι τὴν ἀτραπὸν ἔδειξεν. ὃ δὲ ἐπέδραμέ
centurion with few being the path showed he and ran-up
τε καὶ θεράποντας ἰδὼν πολὺ πλείους τῶν ἀμφ᾽
both and servants having-seen much more(-numerous) than-the(-men) around
αὐτὸν ὁρμῶντας ἐς ἄμυναν, στρατηγικῶς μάλα ἀνεβόησεν·
him rushing to defense in-a-general's-way very shouted
"ἐσελθέτωσαν ἐς τὸ χωρίον οἱ περὶ οὐρὰν λοχαγοί".
let-come-in into the place the at the-rear centurions

20 τότε γὰρ οἱ μὲν θεράποντες ὡς ἐλευσομένων πλεόνων
then for the indeed servants as going-to-come more
κατεπλάγησαν, ὁ δὲ Λαίνας, καὶ δίκην τινὰ διὰ τοῦ
were-terrified — and Laenas even a-case some through —
Κικέρωνός ποτε κατωρθωκώς, ἐκ τοῦ φορείου τὴν
Cicero once having-won from the litter the
κεφαλὴν ἐπισπάσας ἀπέτεμνεν, ἐς τρὶς ἐπιπλήσσων
head having-pulled cut-off to three-times striking
καὶ ἐκδιαπρίζων ὑπὸ ἀπειρίας· ἀπέτεμε δὲ καὶ τὴν
and sawing-through from inexperience he-cut-off and also the
χεῖρα, ᾗ τοὺς κατὰ Ἀντωνίου λόγους οἷα τυράννου
hand with-which the against Antony speeches as of-a-tyrant
συγγράφων, ἐς μίμημα τῶν Δημοσθένους, Φιλιππικοὺς
writing in imitation of-the of-Demosthenes Philippics
ἐπέγραφεν. ἔθεον δὲ οἱ μὲν ἐπὶ ἵππων, οἱ δὲ ἐπὶ
he-had-entitled ran and some indeed on horses others and on
νεῶν, αὐτίκα τὸ εὐαγγέλιον Ἀντωνίῳ διαφέροντες· καὶ ὁ
ships at-once the good-news to-Antony carrying and —
Λαίνας ἐν ἀγορᾷ προκαθημένῳ τὴν κεφαλὴν καὶ τὴν χεῖρα
Laenas in forum to-(him)-presiding the head and the hand
μακρόθεν ἀνέσειεν ἐπιδεικνύς. ὃ δὲ ἥσθη τε μάλιστα
from-afar shook showing he and was-pleased both most
καὶ τὸν λοχαγὸν ἐστεφάνωσε καὶ πλέοσι τῶν ἄθλων
and the centurion crowned and with-more than-the prizes
ἐδωρήσατο πέντε καὶ εἴκοσι μυριάσιν Ἀττικῶν δραχμῶν
rewarded five and twenty with-myriads of-Attic drachmas
ὡς μέγιστον δὴ τόνδε πάντων ἐχθρὸν καὶ πολεμιώτατόν
as greatest indeed this(-man) of-all enemy and most-hostile
οἱ γενόμενον ἀνελόντα. ἡ κεφαλὴ δὲ τοῦ Κικέρωνος καὶ
to-him having-become having-killed the head and — of-Cicero and
ἡ χεὶρ ἐν ἀγορᾷ τοῦ βήματος ἀπεκρέμαντο ἐπὶ πλεῖστον,
the hand in forum from-the rostra were-hung for longest

ἔνθα πρότερον ὁ Κικέρων ἐδημηγόρει· καὶ πλείους ὀψόμενοι
where formerly — Cicero harangued and more to-see
συνέθεον ἢ ἀκροώμενοι. λέγεται δὲ καὶ ἐπὶ τῆς διαίτης ὁ
ran-together than listening it-is-said and also at the meals —
Ἀντώνιος τὴν κεφαλὴν τοῦ Κικέρωνος θέσθαι πρὸ τῆς
Antony the head — of-Cicero to-have-placed before the
τραπέζης, μέχρι κόρον ἔσχε τῆς θέας τοῦ κακοῦ. ὧδε μὲν
table until surfeit he-had of-the sight of-the evil thus indeed
δὴ Κικέρων, ἐπί τε λόγοις ἀοίδιμος ἐς ἔτι νῦν ἀνὴρ καί,
indeed Cicero for both speeches celebrated to still now a-man and
ὅτε ἦρχε τὴν ὕπατον ἀρχήν, ἐς τὰ μέγιστα τῇ πατρίδι
when he-held the consular office in the greatest for-the fatherland
γεγονὼς χρήσιμος, ἀνῄρητο καὶ ἀνῃρημένος ἐνυβρίζετο·
having-been useful had-been-killed and having-been-killed was-outraged
ὁ δὲ παῖς ἐς τὴν Ἑλλάδα προαπέσταλτο ἐς Βροῦτον.
the and son to — Greece had-been-sent-ahead to Brutus
Κόιντος δέ, ὁ τοῦ Κικέρωνος ἀδελφός, ἅμα τῷ παιδὶ
Quintus and the — of-Cicero brother together-with the son
καταληφθεὶς ἐδεῖτο τῶν σφαγέων πρὸ τοῦ παιδὸς αὑτὸν
caught asked the slayers before the son himself
ἀνελεῖν· τὰ δὲ ἐναντία καὶ τοῦ παιδὸς ἱκετεύοντος, οἱ
to-kill the and opposite also the son begging the
σφαγεῖς ἔφασαν ἀμφοτέροις διαιτήσειν καὶ διαλαβόντες
slayers said for-both to-be-going-to-arbitrate and having-taken-apart
ἕτερον ἕτεροι κατὰ σύνθημα φονεῖς ἀνεῖλον ὁμοῦ.
one others by signal murderers killed together
Ἐγνάτιοι δέ, πατὴρ καὶ υἱός, συμφυέντες ἀλλήλοις διὰ 21
Egnatii and father and son clinging-together to-one-another by
μιᾶς πληγῆς ἀπέθανον· καὶ αὐτῶν αἱ κεφαλαὶ μὲν
one blow died and of-them the heads indeed
ἀπετέτμηντο, τὰ δὲ λοιπὰ σώματα ἔτι συνεπέπλεκτο.
had-been-cut-off the but remaining bodies still were-entwined

Βάλβος τὸν υἱόν, ἵνα μὴ βαδίζοντες ὁμοῦ φανεροὶ
Balbus the son so-that not walking together conspicuous
γένοιντο, προύπεμψεν ἐς φυγὴν ἐπὶ θάλασσαν καὶ
they-might-become sent-ahead to flight to the-sea and
μετ᾽ ὀλίγον εἵπετο ἐκ διαστήματος. ἐξαγγείλαντος δέ
after a-little followed from a-distance having-reported and
τινος, εἴτε ἐξ ἐπιβουλῆς εἴθ᾽ ὑπ᾽ ἀγνοίας, τὸν υἱὸν
someone whether from plot or through ignorance the son
συνειλῆφθαι, ἐπανῆλθε καὶ τοὺς σφαγέας μετεπέμψατο.
to-have-been-seized he-returned and the slayers sent-for
συνέβη δὲ καὶ τὸν παῖδα ἀπολέσθαι ναυαγίῳ· οὕτω ταῖς
it-happened and also the boy to-perish by-shipwreck so on-the
τότε συμφοραῖς καὶ τὸ δαιμόνιον ἐπέκειτο. Ἀρρούντιος
then misfortunes even the divine-power pressed Arruntius
τὸν υἱόν, οὐχ ὑφιστάμενον φεύγειν χωρὶς αὐτοῦ, μόλις
the son not consenting to-flee without him with-difficulty
ἔπεισεν ὡς νέον περισῴζειν ἑαυτόν. καὶ τόνδε μὲν ἡ
persuaded as young to-save himself and this(-one) indeed the
μήτηρ ἐπὶ τὰς πύλας προύπεμψε καὶ ὑπέστρεψεν, ἵνα
mother to the gates escorted and turned-back so-that
ἀνῃρημένον τὸν ἄνδρα θάψειε· πυθομένη δὲ καὶ τὸν υἱὸν
having-been-killed the husband she-might-bury having-learned and also the son
ὑπὸ τῆς θαλάσσης διεφθάρθαι λιμῷ διεχρήσατο ἑαυτήν.
by the sea to-have-perished by-famine made-away-with herself
22 αἵδε μὲν δὴ παίδων ἀγαθῶν καὶ κακῶν ἔστων εἰκόνες·
these indeed indeed of-children good and bad let-be images
ἀδελφοὶ δὲ δύο ὁμοῦ προγραφέντες, οἷς ὄνομα ἦν
brothers and two together proscribed to-whom name was
Λιγάριοι, ἐκρύπτοντο ὑπὸ ἰπνῷ, μέχρι τῶν θεραπόντων
Ligarii hid under an-oven until the servants
αὐτοὺς ἀνευρόντων ὁ μὲν αὐτίκα ἀνῃρέθη, ὁ δὲ
them having-found-out the(-one) indeed at-once was-killed the(-other) and

ἐκφυγών, ἐπεὶ τὸν ἀδελφὸν ἔγνω διεφθαρμένον, ἔρριψεν
having-escaped when the brother he-knew destroyed threw
αὑτὸν ἀπὸ τοῦ ποταμοῦ τῆς γεφύρας ἐς τὸ ῥεῦμα. καὶ
himself from of-the river the bridge into the stream and
αὐτὸν ἁλιέων περισχόντων ὡς οὐκ ἐναλάμενον, ἀλλὰ
him fishermen having-surrounded as not having-leapt but
πεπτωκότα, ἐς πολὺ μὲν ἐφιλονίκει καὶ ἑαυτὸν ἐς τὸ
having-fallen to much indeed he-struggled and himself into the
ῥεῦμα ἐώθει, ἡσσώμενος δὲ τῶν ἁλιέων περιεγίγνετο
stream pushed being-overcome but by-the fishermen was-saved
καὶ "οὐκ ἐμέ", ἔφη, "περισώζετε, ἀλλ' ἑαυτοὺς ἐμοὶ
and not me he-said you-save but yourselves with-me
προγεγραμμένῳ συναπόλλυτε". οἳ δὲ καὶ ὣς αὐτὸν
proscribed you-destroy-along they and even so him
οἰκτείραντες περιέσῳζον, μέχρι τινὲς τῶν στρατιωτῶν,
pitying were-saving until some of-the soldiers
οἳ τὴν γέφυραν ἐτήρουν, ἰδόντες ἐπέδραμόν τε καὶ
who the bridge were-guarding having-seen ran-up both and
τὴν κεφαλὴν ἀπέτεμον. ἑτέρων δὲ ἀδελφῶν ὁ μὲν
the head cut-off of-other and brothers the(-one) indeed
αὑτὸν ἔρριψε κατὰ τοῦ ῥεύματος, καὶ θεράπων αὐτοῦ
himself threw down the stream and servant of-him
τὸ σῶμα ἀνεζήτει μέχρι πέμπτης ἡμέρας, εὑρὼν δὲ
the body searched-for until the-fifth day having-found and
ἔτι γνωρίζεσθαι δυναμένου, τὴν κεφαλὴν διὰ τὸ ἆθλον
still to-be-recognized being-able the head because-of the reward
ἀπέκοψε· τὸν δὲ ἕτερον ἐν κοπρῶνι κρυπτόμενον ἕτερος
cut-off the and other in a-dung-heap hiding another
ἐμήνυσε θεράπων, καὶ οἱ σφαγεῖς εἰσελθεῖν μὲν ἀπηξίωσαν,
informed-on servant and the slayers to-go-in indeed disdained
δόρασι δὲ περικεντοῦντες ἐξήγαγον καί, ὡς εἶχε, τὴν
with-spears but pricking-round led-(him)-out and as he-was the

κεφαλὴν οὐδὲ ἀπονίψαντες ἀπέκοψαν. ἕτερος δέ, τοῦ
head not-even having-washed cut-off another and the
ἀδελφοῦ συλλαμβανομένου, προσδραμὼν ἀγνοίᾳ τοῦ καὶ
brother being-seized having-run-up in-ignorance of-the also
αὐτὸς ἅμα ἐκείνῳ προγεγράφθαι, "ἐμέ", ἔφη, "κτείνατε
himself together-with him to-have-been-proscribed me he-said kill
πρὸ τούτου". καὶ ὁ λοχαγὸς ἔχων τὸ ἀκριβὲς ἀνάγραπτον,
before this(-man) and the centurion having the exact list
"εἰκότα ἀξιοῖς", ἔφη· "σὺ γὰρ πρὸ τούτου γέγραψαι",
reasonable(-things) you-ask he-said you for before this(-man) are-written
καὶ εἰπὼν κατὰ τὴν τάξιν ἔκτεινεν ἄμφω.
and having-said according-to the order killed both
23 ταῦτα μὲν δὴ καὶ ἀδελφῶν δείγματα· Λιγάριον δὲ
these-things indeed indeed also of-brothers examples Ligarius and
ἡ γυνὴ κρύπτουσα μίαν ἐς τὸ ἀπόρρητον ἐπηγάγετο
the wife hiding one into the secret brought-in
θεράπαιναν, προδοθεῖσα δὲ ὑπ' αὐτῆς εἵπετο τῇ κεφαλῇ
maidservant having-been-betrayed and by her followed the head
τοῦ ἀνδρὸς φερομένῃ βοῶσα· "ἐγὼ τοῦτον ὑπεδεξάμην,
of-the husband being-carried shouting I this(-man) received
τὰ δ' ὅμοια τοῖς ὑποδεξαμένοις ἐστὶν ἐπιτίμια".
the and like for-the(-ones) having-received are penalties
καὶ οὐδενὸς αὐτὴν οὔτε ἀναιροῦντος οὔτε μηνύοντος,
and no-one her neither killing nor informing-on
αὐτάγγελος ἐς τοὺς ἄρχοντας ἦλθε καθ' ἑαυτῆς, κἀκείνων
self-informing to the magistrates came against herself and-those
αὐτὴν διὰ τὴν φιλανδρίαν ὑπεριδόντων, ἑαυτὴν ἀπέκτεινε
her because-of the love-of-husband having-disregarded herself she-killed
λιμῷ. καὶ τῆσδε μὲν ἐνθάδε ἐπεμνήσθην, ὅτι τὸν
by-famine and this(-woman) indeed here I-mentioned because the
ἄνδρα περισώζουσα ἀπετύγχανέ τε καὶ συνεξήγαγεν
husband saving she-failed both and took-out-with(-him)

ἑαυτήν· ὅσαι δὲ ἐπέτυχον τῆς φιλανδρίας, ἐν τοῖς
herself as-many-as and succeeded in-the love-of-husband among the
περισωθεῖσι τῶν ἀνδρῶν ἀναγράψω. ἕτεραι δὲ ἀθεμίστως
saved of-the husbands I-shall-record others and lawlessly
ἐπεβούλευσαν τοῖς ἀνδράσιν. καὶ αὐτῶν ἐστιν, ἣ
plotted against-the husbands and of-them is who(-was)
Σεπτιμίῳ μὲν ἐγεγάμητο, ὑπὸ δέ τινος Ἀντωνίῳ φίλου
to-Septimius indeed had-been-married by and a-certain to-Antony friend
διεφθείρετο· ἐπειγομένη δὲ ἐκ μοιχείας ἐς γάμον ἐδεήθη
was-seduced hastening and from adultery to marriage she-begged(-it)
διὰ τοῦ μοιχεύοντος αὐτὴν Ἀντωνίου, καὶ ὁ
through the(-man) committing-adultery-with her Antony and —
Σεπτίμιος αὐτίκα τοῖς πίναξι προσετέθη. καὶ μαθὼν
Septimius at-once to-the tablets was-added and having-learned(-it)
ἐς τῆς γυναικὸς ὑπ᾽ ἀγνοίας τῶν οἴκοι κακῶν
to (the-house)-of-the wife through ignorance of-the at-home evils
ἔφευγεν. ἡ δὲ ὡς φιλοφρονουμένη τὰς θύρας ἐπέκλεισε καὶ
fled she and as showing-kindness the doors shut and
ἐτήρει τὸν ἄνδρα, ἕως οἱ σφαγεῖς παρεγένοντο· καὶ τῆς
guarded the husband until the slayers arrived and on-the
αὐτῆς ἡμέρας οἳ μὲν ἐκεῖνον ἀνῄρουν, ἡ δὲ ἔθυε γάμους.
same day they indeed him killed she and celebrated marriage
Σάλασσος δὲ ἐκφυγών τε καὶ ἀπορούμενος ἦκε μὲν ἐς 24
Salassus and having-escaped both and being-at-a-loss came indeed to
πόλιν νυκτός, ὅτε μάλιστα ἔδοξεν ἀμβλύνεσθαι τὸ δεινόν,
city by-night when most it-seemed to-be-blunted the terror
πεπραμένης δὲ τῆς οἰκίας μόνος αὐτὸν ὁ θυρωρὸς τῇ
having-been-sold and the house alone him the doorkeeper with-the
οἰκίᾳ συμπεπραμένος ἐπέγνω καὶ ἐς τὸ ἑαυτοῦ οἴκημα
house sold-together recognized and into the his-own room
ὑπεδέχετο καὶ κρύψειν ἐπηγγέλλετο καὶ θρέψειν, ἐξ
received(-him) and to-be-going-to-hide promised and to-be-going-to-feed from

ὧν ἐδύνατο. ὁ δὲ τὴν γυναῖκά οἱ καλέσαι προσέταξεν
what he-could he and the wife to-him to-call ordered
ἐκ τῆς ἐκείνης οἰκίας. ἡ δ' ὑποκριναμένη μὲν ἐλθεῖν
from the her house she and having-pretended indeed to-come
ἐπείγεσθαι, δεδιέναι δ' ὡς ἐν νυκτὶ καὶ θεραπαίναις τὸ
to-be-eager to-fear but as in night and maidservants the
ὕποπτον, μεθ' ἡμέραν ἥξειν ἔφη. καὶ γενομένης
suspicion by day to-be-going-to-come said and having-become
ἡμέρας ἡ μὲν τοὺς σφαγέας μετῄει, καὶ ὁ θυρωρὸς αὐτὴν
day she indeed the slayers went-for and the doorkeeper her
ὡς βραδύνουσαν ἐς τὴν οἰκίαν ἀπέτρεχεν ἐπείξων·
as delaying to the house ran-off going-to-hurry(-her)
ὁ δὲ Σάλασσος, οἰχομένου τοῦ θυρωροῦ δείσας ὡς
— but Salassus having-gone the doorkeeper having-feared as
ἐς ἐνέδραν ἀπιόντος, ἐς τὸ τέγος ἀναδραμὼν ἐκαραδόκει
to ambush departing to the roof having-run-up watched
τὸ γιγνόμενον, ἰδὼν δὲ οὐ τὸν θυρωρόν, ἀλλὰ τὴν
the(-thing) happening having-seen and not the doorkeeper but the
γυναῖκα τοῖς σφαγεῦσιν ἡγουμένην ἔρριψεν ἑαυτὸν ἀπὸ
wife to-the slayers leading threw himself from
τοῦ τέγους. Φούλβιον δὲ ἐς θεραπαίνης φυγόντα
the roof Fulvius and to (the-house)-of-a-maidservant having-fled
παλλακευθείσης τε αὐτῷ καὶ ἀπηλευθερωμένης καὶ προῖκα
having-been-made-concubine both by-him and freed and dowry
ἐς γάμον ἐπιλαβούσης, ἡ τοσάδε εὖ παθοῦσα προύδωκε
for marriage having-received she so-many well having-been-treated betrayed(-him)
ζηλοτυπίᾳ τῆς μεθ' ἑαυτὴν τῷ Φουλβίῳ γεγαμημένης.
from-jealousy of-the(-wife) after herself — to-Fulvius married
25 τοσάδε μὲν δὴ καὶ γυναικῶν πονηρῶν ὑποδείγματα
so-many indeed indeed also of-women wicked examples
γεγράφθω· Στάτιος δὲ ὁ Σαυνίτης, πολλὰ Σαυνίταις
let-be-written Statius and the Samnite many(-things) for-Samnites

ἐν τῷ συμμαχικῷ πολέμῳ κατειργασμένος, διὰ δὲ
in the allied war having-achieved because-of and
περιφάνειαν ἔργων καὶ διὰ πλοῦτον καὶ γένος ἐς τὸ
conspicuousness of-deeds and because-of wealth and family into the
Ῥωμαίων βουλευτήριον ἀνακεκλημένος, ὀγδοηκοντούτης ὢν
of-Romans senate having-been-enrolled eighty-years-old being
ἤδη καὶ διὰ πλοῦτον προγεγραμμένος ἀνεπέτασε τὴν
already and because-of wealth proscribed threw-open the
οἰκίαν τῷ τε δήμῳ καὶ τοῖς θεράπουσιν ἐκφορεῖν, ὅσα
house to-the both people and to-the servants to-carry-out as-much-as
θέλοιεν, τὰ δὲ καὶ αὐτὸς διερρίπτει, μέχρι κεκενωμένης
they-wished the(-things) and also himself threw-about until having-been-emptied
ἐπικλείσας ἐνέπρησε καὶ ἀπώλετο, καὶ τὸ πῦρ πολλὰ τῆς
having-shut(-it) he-set-it-afire and perished and the fire much of-the
πόλεως ἄλλα ἐπενείματο. Καπίτων δὲ ἐς πολὺ τὰς θύρας
city other spread-over Capito and for long the doors
ὑπανοίγων τοὺς ἐσβιαζομένους καθ' ἕνα ἀνῄρει, ὑπὸ δὲ
opening-a-little the(-men) forcing-their-way-in by one killed by but
πολλῶν ἐπιβρισάντων εἷς ἀπέθανε πολλοὺς ἀποκτείνας.
many having-pressed-on one died many having-killed
Οὐετουλῖνος δὲ χεῖρα ἤθροισε πολλὴν ἀμφὶ τὸ Ῥήγιον αὐτῶν
Vetulinus and a-band gathered large around — Rhegium of-them
τε τῶν προγεγραμμένων ἀνδρῶν καὶ ὅσοι συνέφευγον
both the proscribed men and as-many-as fled-with
αὐτοῖς, καὶ ἀπὸ τῶν ὀκτωκαίδεκα πόλεων, αἳ τοῖς στρατοῖς
them and from the eighteen cities which to-the armies
ἐπινίκια ἐπηγγελμέναι πάνυ ἐδυσχέραινον. τούσδε οὖν
as-prizes-of-victory having-been-promised very were-indignant these then
ἔχων ὁ Οὐετουλῖνος ἀνῄρει τῶν λοχαγῶν τοὺς διαθέοντας,
having — Vetulinus killed of-the centurions the(-ones) running-about
μέχρι πεμφθέντος ἐπ' αὐτὸν στρατοῦ πλέονος οὐδ' ὡς
until having-been-sent against him an-army larger not-even so

ἔληξεν, ἀλλ' ἐς Σικελίαν πρὸς Πομπήιον, κρατοῦντά τε
he-stopped but to Sicily to Pompey ruling both
αὐτῆς καὶ τοὺς φεύγοντας ὑποδεχόμενον, ἐπέρασεν. εἶτα
it and the fugitives receiving crossed then
ἐπολέμει καρτερῶς, μέχρι πολλαῖς μάχαις ἡσσώμενος τὸν
made-war stoutly until in-many battles being-defeated the
μὲν υἱὸν καὶ ὅσοι τῶν προγεγραμμένων ἄλλοι συνῆσαν,
indeed son and as-many-as of-the proscribed others were-with(-him)
ἐπὶ Μεσσήνης ἔπεμψεν, αὐτὸς δέ, ὡς εἶδε πορθμευόμενον
to Messana sent himself and when he-saw being-ferried
ἤδη τὸ σκάφος, ἐμπεσὼν τοῖς πολεμίοις κατεκόπη.
already the boat having-fallen-upon the enemies was-cut-down
26 Νάσων δὲ ὑπὸ ἐξελευθέρου, παιδικῶν οἱ γενομένου,
Naso and by a-freedman favorite to-him having-been
προδοθεὶς ἥρπασε παρά του τῶν στρατιωτῶν ξίφος καὶ
betrayed snatched from one of-the soldiers a-sword and
τὸν προδότην μόνον ἀποκτείνας ἑαυτὸν τοῖς σφαγεῦσιν
the betrayer alone having-killed himself to-the slayers
ὑπέσχε. φιλοδέσποτος δὲ οἰκέτης τὸν κεκτημένον ἐπὶ λόφου
offered master-loving and a-servant the owner on a-hill
ἐκάθισε καὶ αὐτὸς ἐπὶ θάλασσαν ἦει μισθωσόμενος αὐτῷ
seated and himself to the-sea went going-to-hire for-him
σκάφος. ἐπανιὼν δὲ κτεινόμενόν τε εἶδε τὸν δεσπότην
a-boat returning and being-killed both he-saw the master
καὶ ἀποψύχοντος ἤδη μέγα βοῶν "ἐπίμεινον ἐς βραχύ, ὦ
and breathing-his-last already loudly shouting wait for a-little O
δέσποτα", εἶπε καὶ κτείνει τὸν λοχαγὸν ἐμπεσὼν
master he-said and kills the centurion having-fallen-upon(-him)
ἄφνω. μετὰ δὲ ἐκεῖνον ἑαυτὸν ἐπαναιρῶν εἶπε τῷ
suddenly after and him himself killing-in-addition he-said to-the
δεσπότῃ· "παραμύθιον ἔχεις". Λεύκιος δὲ δύο πιστοτάτοις
master consolation you-have Lucius and to-two most-faithful

ἀπελευθέροις χρυσίον δοὺς ἐπὶ θάλασσαν ᾔει, διαδράντων
freedmen gold having-given to the-sea went having-run-away
δὲ ἐκείνων ὑπέστρεψε καταγινώσκων τοῦ βίου καὶ ἑαυτὸν
and those he-turned-back condemning the life and himself
ἐμήνυσε τοῖς σφαγεῦσι. Λαβιηνὸς δὲ ἐν ταῖς Σύλλα
informed-on to-the slayers Labienus and in the of-Sulla
προγραφαῖς πολλοὺς τῶν τότε συλλαβών τε καὶ κτείνας
proscriptions many of-the then having-seized both and having-killed
ἠδόξησεν ἄρα, εἰ μὴ τὰ ὅμοια γενναίως ἐνέγκοι, καὶ
thought-it-disgraceful then if not the like(-things) nobly he-should-bear and
προελθὼν τῆς οἰκίας ἐκαθέζετο ἐπὶ θρόνου τοὺς σφαγέας
having-gone-forth from-the house sat on a-chair the slayers
περιμένων. Κέστιος δὲ ἐν χωρίοις παρὰ εὐνόοις θεράπουσιν
awaiting Cestius and in estates with loyal servants
ἐκρύπτετο, λοχαγῶν δ' αἰεὶ σὺν ὅπλοις ἢ κεφαλαῖς
hid centurions and always with arms or heads
διαθεόντων οὐκ ἔφερε τὸ μῆκος τοῦ φόβου, ἀλλ' ἔπεισε
running-about not he-bore the length of-the fear but persuaded
τοὺς θεράποντας ἅψαι πυράν, ἵνα ἔχοιεν λέγειν, ὅτι
the servants to-light a-pyre so-that they-might-be-able to-say that
Κέστιον ἀποθανόντα θάπτοιεν. καὶ οἳ μὲν ἐνεδρευθέντες
Cestius having-died they-were-burying and they indeed having-been-tricked
ἧψαν, ὃ δὲ ἐσήλατο ἐς αὐτήν. Ἀπώνιος δὲ ἀσφαλῶς ἑαυτὸν
lit(-it) he and leapt into it Aponius and safely himself
ἐπικρύψας οὐκ ἤνεγκε τὴν πονηρίαν τῆς διαίτης, ἀλλὰ
having-hidden not bore the wretchedness of-the life but
προήγαγεν ἑαυτὸν ἐπὶ τὴν σφαγήν. ἄλλος ἐν φανερῷ καθῆστο
brought-forward himself to the slaughter another in public sat
ἑκὼν καὶ βραδυνόντων τῶν σφαγέων ἀπήγξατο ἐν μέσῳ.
willingly and delaying the slayers hanged-himself in (the)-middle

27 Λεύκιος δὲ ὁ Ἀσινίου τοῦ ὑπατεύοντος τότε πενθερός,
Lucius and the of-Asinius the(-one) being-consul then father-in-law
φεύγων διὰ θαλάσσης, οὐ φέρων τοῦ χειμῶνος τὴν
fleeing by sea not bearing of-the storm the
ἀηδίαν ἔρριψεν ἑαυτὸν εἰς τὸ πέλαγος. Καισέννιον
unpleasantness threw himself into the sea Caesennius
δὲ οἱ διώκοντες, ὑποφεύγοντά τε καὶ βοῶντα οὐ
and the(-men) pursuing slipping-away both and shouting not
προγεγράφθαι, ἀλλὰ διὰ τὰ χρήματα ἐπιβουλεύεσθαι
to-have-been-proscribed but because-of the money to-be-plotted-against
πρὸς αὐτῶν, ἐπὶ τὸν πίνακα ἀγαγόντες ἀναγινώσκειν
by them to the tablet having-led to-read
ἑαυτοῦ τὸ ὄνομα ἐκέλευον καὶ ἀναγινώσκοντα ἔκτειναν.
his-own the name bade and reading killed(-him)
Αἰμίλιος δὲ ἀγνοῶν, ὅτι προγέγραπται, διωκόμενον
Aemilius and not-knowing that he-has-been-proscribed being-pursued
ἄλλον ἰδὼν ἤρετο τὸν λοχαγὸν τὸν διώκοντα, τίς
another having-seen asked the centurion the(-one) pursuing who
ὁ προγεγραμμένος εἴη· καὶ ὁ λοχαγὸς τὸν Αἰμίλιον
the proscribed(-man) might-be and the centurion — Aemilius
γνωρίσας "σὺ κἀκεῖνος" εἶπε καὶ τοὺς δύο ἀπέκτεινε.
having-recognized you and-that-one said and the two killed
Κίλλων δὲ ἐκ τοῦ βουλευτηρίου προϊὼν καὶ Δέκιος, ἐπεὶ
Cillo and from the senate-house coming-forth and Decius when
τοῖς πίναξιν ἐπύθοντο σφῶν τὰ ὀνόματα προσγεγράφθαι,
on-the tablets they-learned their the names to-have-been-added
οὔπω τινὸς ἐπιόντος αὐτοῖς ἔφευγον ἀκόσμως διὰ
not-yet anyone approaching them fled in-disorder through
πυλῶν, καὶ αὐτοὺς τοῖς ἀπαντῶσι τῶν λοχαγῶν
gates and them to-the(-ones) meeting(-them) of-the centurions
αὐτὸς ὁ δρόμος ἐμήνυσεν. Ἰκέλιος δέ, ὃς ἐπὶ Βρούτῳ τε
itself the running informed-on Icelius and who over Brutus both

καὶ Κασσίῳ δικάζων, Καίσαρος τοῖς δικαστηρίοις μετὰ
and Cassius judging Caesar over-the courts with
στρατιᾶς ἐφεστῶτος καὶ τῶν ἄλλων δικαστῶν κρύφα τὴν
army standing and the other jurors secretly the
καταδικάζουσαν φερόντων, μόνος τὴν ἀπολύουσαν ἤνεγκε
condemning(-vote) bringing alone the acquitting(-vote) brought
φανερῶς, ἐκλαθόμενος τῆς μεγαλόφρονος ἐλευθεριότητος,
openly forgetting the high-minded independence
νεκρὸν σῶμα ἐκκομιζόμενον ὑποστὰς τοῖς φέρουσι
a-dead body being-carried-out having-gone-under with-the bearers
συνεβάσταζε τὸ λέχος. ἰδόντων δὲ τῶν φρουρούντων τὰς
helped-carry the bier having-seen and the(-men) guarding the
πύλας, ὅτι πλεονάζουσιν οἱ νεκροφόροι παρὰ τὸ σύνηθες
gates that were-more-numerous the corpse-bearers beyond the usual
ἑνὶ ἀνδρί, καὶ τοὺς μὲν φέροντας οὐχ ὑπονοούντων,
by-one man and the indeed bearers not suspecting
τὸ δὲ λέχος ἐρευνωμένων, μὴ νεκρόν τις ὑποκρίνοιτο,
the but bier searching lest a-corpse anyone might-be-feigning
οἱ νεκροφόροι τὸν Ἰκέλιον ἤλεγχον οὐχ ὁμότεχνον σφίσιν
the corpse-bearers — Icelius exposed not of-same-craft with-them
ὄντα, ἐπιγνωσθέντα τε οἱ σφαγεῖς ἀπέκτειναν.
being recognized both the slayers killed(-him)
Οὐᾶρος δ' ἀπελευθέρου προδιδόντος αὐτὸν ἀπέδρα καὶ 28
Varus and a-freedman betraying him ran-away and
ὄρος ἐξ ὄρους ἀμείβων ἐς τὸ Μιντουρναίων ἕλος
mountain from mountain changing into the of-Minturnians marsh
ἐνέπεσεν, ἔνθα ἑαυτὸν διαναπαύων ἡσύχαζε. τῶν δὲ
fell where himself resting kept-quiet the and
Μιντουρναίων ἐπὶ ζητήσει λῃστηρίου τὸ ἕλος περιθεόντων,
Minturnians in search of-a-robber-band the marsh running-around
ᾗ τε κόμη τοῦ δόνακος σαλευθεῖσα ἐνέφηνε τὸν Οὐᾶρον,
the both plume of-the reed shaken revealed — Varus

καὶ ληφθεὶς ἔλεγεν εἶναι λῃστὴς καὶ ἐπὶ τῷδε θανάτῳ
and taken he-said to-be a-robber and for this to-death
καταδικαζόμενος ἠνείχετο. ὡς δὲ αὐτὸν ἔμελλον καὶ
being-condemned endured(-it) when but him they-were-going even
βασανιεῖν ἐς τοὺς συνεγνωκότας, οὐκ ἐνεγκὼν ἤδη τοῦτο ὡς
to-torture for the accomplices not having-borne already this as
ἀπρεπέστερον, "ἀπαγορεύω", φησίν, "ὑμῖν, ὦ Μιντουρναῖοι,
more-unseemly I-forbid he-says you O Minturnians
ὕπατόν με γεγενημένον καί, ὃ τοῖς νῦν ἄρχουσι τιμιώτερόν
consul me having-been and what to-the now ruling more-honorable
ἐστι, προγεγραμμένον μήτε βασανίζειν μήτε ἀναιρεῖν ἔτι·
is proscribed neither to-torture nor to-kill any-longer
εἰ γὰρ οὐκ ἔνι μοι διαφυγεῖν, ἄμεινον ὑπὸ τῶν
if for not it-is-possible for-me to-escape better by the
ὁμοτίμων παθεῖν". ἀπιστούντων δὲ τῶν Μιντουρναίων
equals-in-rank to-suffer disbelieving and the Minturnians
καὶ τὸν λόγον ὑπονοούντων λοχαγὸς ἐπέγνω διαθέων
and the story suspecting a-centurion recognized(-him) running-about
καὶ τὴν κεφαλὴν ἀπέτεμε, τὸ δὲ λοιπὸν σῶμα τοῖς
and the head cut-off the but remaining body to-the
Μιντουρναίοις κατέλιπε. Λάργον ἕτεροι συνελάμβανον ἐν
Minturnians left Largus others seized in
χωρίοις, οὐ Λάργον, ἀλλ' ἕτερον διώκοντες· οἰκτείραντες
estates not Largus but another pursuing pitying
δ', ὅτι μὴ ζητούμενος ἁλοίη, φεύγειν μεθῆκαν ἀνὰ τὴν
and that not being-sought he-was-caught to-flee they-let(-him) through the
ὕλην. ὃ δὲ ὑφ' ἑτέρων διωκόμενος δρόμῳ τοὺς προτέρους
wood he and by others being-pursued at-a-run the earlier(-men)
κατέλαβε καί "ὑμεῖς", ἔφη, "με κτείνατε μᾶλλον, οἱ
overtook and you he-said me kill rather the(-men)
ἐλεήσαντες, ἵνα τὸν μισθὸν ἀντὶ τούτων ὑμεῖς φέρησθε".
having-pitied(-me) so-that the reward instead-of these you may-carry-off

ὃ μὲν δὴ ταύτην ἔδωκεν ἀμοιβὴν ἀποθνήσκων 29
he indeed indeed this gave requital dying
φιλανθρωπίας, Ῥοῦφος δὲ ἔχων συνοικίαν περικαλλῆ,
for-humanity Rufus and having an-apartment-house very-beautiful
γείτονα Φουλβίας τῆς γυναικὸς Ἀντωνίου, πάλαι μὲν
neighbor of-Fulvia the wife of-Antony long-ago indeed
ἀξιούσῃ τῇ Φουλβίᾳ πρίασθαι τὴν οἰκίαν οὐ συνεχώρει,
asking — Fulvia to-buy the house not consented
τότε δὲ καὶ δωρούμενος προεγράφη. καὶ τὴν κεφαλὴν ὁ
then and even offering(-it)-as-a-gift was-proscribed and the head —
μὲν Ἀντώνιός οἱ προσφερομένην οὐχ ἑαυτῷ προσήκειν
indeed Antony to-him being-brought not to-himself to-belong
εἰπὼν ἔπεμψεν ἐς τὴν γυναῖκα, ἣ δὲ ἀντὶ τῆς ἀγορᾶς
having-said sent to the wife she and instead-of the forum
ἐκέλευσεν ἐπὶ τῆς συνοικίας προτεθῆναι. ἔπαυλιν ἕτερος
ordered at the apartment-house to-be-displayed a-villa another
εἶχε περικαλλῆ καὶ σύσκιον, ἄντρον τε καλὸν ἦν ἐν αὐτῇ
had very-beautiful and shady a-cave both fine was in it
καὶ βαθύ, καὶ τάχα διὰ ταῦτα καὶ προυγράφη. ἔτυχε
and deep and perhaps because-of these-things also was-proscribed he-happened
δὲ ἀναψύχων κατὰ τὸ ἄντρον, καὶ αὐτῷ τῶν σφαγέων ἔτι
and cooling-himself in the cave and on-him the slayers still
μακρόθεν ἐπιθεόντων θεράπων αὐτὸν ἐς τὸν μυχὸν τοῦ
from-afar running-up a-servant him into the recess of-the
ἄντρου προπέμψας ἐνέδυ τὸν τοῦ δεσπότου χιτωνίσκον
cave having-sent-ahead put-on the of-the master tunic
καὶ ὑπεκρίνετο ἐκεῖνος εἶναι καὶ δεδιέναι· καὶ τάχα ἂν
and pretended that-one to-be and to-be-afraid and perhaps —
ἐπέτυχεν ἀναιρεθείς, εἰ μὴ τῶν ὁμοδούλων τις
he-would-have-succeeded having-been-killed if not of-the fellow-slaves one
ἐνέφηνε τὴν ἐνέδραν. ἀναιρεθέντος δὲ ὧδε τοῦ δεσπότου, ὁ
had-revealed the trick having-been-killed and thus the master the

δῆμος ἀγανακτῶν παρὰ τοῖς ἄρχουσιν οὐκ ἐπαύετο, μέχρι
people being-indignant before the magistrates not stopped until
τὸν μὲν ἐνδείξαντα κρεμασθῆναι, τὸν δὲ περισώσαντα
the(-one) indeed having-informed to-be-hanged the(-other) and having-saved(-him)
ἐλευθερῶσαι ἐποίησεν. Ἀτέριον δὲ κρυπτόμενον θεράπων
to-free made Haterius and hiding a-servant
ἐμήνυσέ τε καὶ ἐλεύθερος αὐτίκα γενόμενος ἀντωνεῖτο
informed-on both and free at-once having-become outbid
τοῖς παισὶν αὐτοῦ τὴν οὐσίαν καὶ ἐνύβριζεν ἐπαχθῶς. οἳ
the children of-him the property and insulted(-them) grievously they
δὲ αὐτῷ πανταχῇ μετὰ σιγῆς εἵποντο κλαίοντες, ἕως ὁ
and him everywhere with silence followed weeping until the
δῆμος ἠγανάκτησε καὶ οἱ τρεῖς αὐτόν, ὡς πλεονάσαντα
people was-indignant and the three him as having-exceeded
τῆς χρείας, ἀνεδούλωσαν τοῖς παισὶ τοῦ προγεγραμμένου.
the need re-enslaved to-the children of-the proscribed(-man)

V · HORTENSIA

Orphans too are killed for their wealth. Lepidus orders a triumphal holiday on pain of proscription. Needing still more money, the triumvirs tax fourteen hundred rich women; refused a hearing by Fulvia, the women go to the forum, and Hortensia argues that women who share no office should not pay for a civil war. The triumvirs reduce the number to four hundred and tax men of property as well, while the soldiers plunder freely.

30 περὶ μὲν δὴ τοὺς ἄνδρας τοιάδε ἐγίγνετο, ἥψατο δὲ
about indeed indeed the men such(-things) happened touched and
καὶ ὀρφανῶν διὰ πλοῦτον ἡ τότε τύχη. καὶ ὃ
also orphans because-of wealth the then fortune and the(-one)
μὲν ἐς διδασκάλου φοιτῶν αὐτῷ παιδαγωγῷ
indeed to (the-house)-of-a-teacher going together-with-(his) tutor

συνανῃρέθη, τὸν παῖδα περισχομένῳ τε καὶ οὐ μεθιέντι·
was-killed the boy embracing both and not letting-go
Ἀτίλιος δὲ ἄρτι τὴν τῶν τελείων περιθέμενος στολὴν ᾔει
Atilius and just-now the of-the grown-men having-put-on garb went
μέν, ὡς ἔθος ἐστί, σὺν πομπῇ φίλων ἐπὶ θυσίας ἐς τὰ
indeed as custom is with escort of-friends for sacrifices to the
ἱερά, ἄφνω δὲ ἐγγραφέντος αὐτοῦ τοῖς πίναξιν οἱ φίλοι
temples suddenly and having-been-enrolled he on-the tablets the friends
καὶ οἱ θεράποντες διεδίδρασκον. ὃ δὲ μόνος καὶ ἔρημος
and the servants ran-off he and alone and deserted
ἐκ δαψιλοῦς παραπομπῆς ἐς τὴν μητέρα ἐχώρει· οὐ
from lavish escort to the mother went not
δεξαμένης δὲ αὐτὸν οὐδὲ ἐκείνης ὑπὸ δέους, οὐκ ἀξιώσας
having-received but him not-even her from fear not thinking-fit
ἔτι ἐς πεῖραν ἐλθεῖν ἑτέρου μετὰ μητέρα, ἐς ὄρος
any-longer to trial to-come of-another after a-mother to a-mountain
ἔφυγεν· ὅθεν ὑπὸ λιμοῦ ἐς τὰ πεδινὰ κατελθὼν ἐλήφθη
he-fled whence by famine to the plains having-come-down he-was-caught
πρὸς ἀνδρὸς λῃστεύειν τοὺς παροδεύοντας καὶ ἐπὶ ἔργῳ
by a-man to-rob the passers-by and for work
καταδεῖν εἰθισμένου. οἷα δὲ παῖς ἐκ τρυφῆς τὸν πόνον
to-bind accustomed as and a-boy from luxury the toil
οὐκ ἐνεγκὼν ἐς τὴν ἁμαξιτὸν αὐταῖς χοινικίσι διέδρα
not having-borne to the highway together-with shackles ran-off
καὶ παροδεύουσι λοχαγοῖς ἑαυτὸν ἐμήνυσέ τε καὶ ἀνῃρέθη.
and to-passing centurions himself informed-on both and was-killed
γιγνομένων δὲ τούτων Λέπιδος ἐπὶ Ἴβηρσιν ἐθριάμβευε, 31
happening and these-things Lepidus over Iberians triumphed
καὶ προυτέθη διάγραμμα οὕτως ἔχον· “ἀγαθῇ τύχῃ
and was-posted an-edict thus running with-good fortune
προειρήσθω πᾶσι καὶ πάσαις θύειν καὶ εὐωχεῖσθαι
let-it-be-proclaimed to-all(-men) and to-all(-women) to-sacrifice and to-feast

τὴν ἡμέραν τὴν παροῦσαν· ὃς δ' ἂν μὴ φαίνηται ταῦτα
the day the present whoever and — not shall-appear these-things
ποιῶν, ἐν τοῖς προγεγραμμένοις ἔσται". ὃ μὲν δὴ
doing among the proscribed shall-be he indeed indeed
τὸν θρίαμβον ἐς τὰ ἱερὰ ἀνῆγε, παραπεμπόντων αὐτὸν
the triumph to the temples led-up escorting him
ἁπάντων μετὰ σχήματος ἱλαροῦ καὶ γνώμης δυσμενοῦς·
all with demeanor cheerful and judgment hostile
τῶν δὲ προγεγραμμένων τὰ μὲν ἐν ταῖς οἰκίαις
of-the and proscribed the(-goods) indeed in the houses
διεφορεῖτο, καὶ οὐ πολὺς ἦν ὁ τὰ χωρία ὠνούμενος, οἳ
were-plundered and not many was the(-one) the lands buying some
μὲν ἐπιβαρεῖν τοῖς ἠτυχηκόσιν αἰδούμενοι καὶ οὐκ
indeed to-press-hard on-the(-men) having-been-unfortunate being-ashamed and not
ἐν αἰσίῳ σφίσι τὰ ἐκείνων ἔσεσθαι νομίζοντες
in auspicious(-light) for-them the(-goods) of-those to-be-going-to-be thinking
οὐδὲ ἀσφαλὲς ὅλως χρυσίον ἢ ἀργύριον ἔχοντας ὁρᾶσθαι
nor safe at-all gold or silver having to-be-seen
οὐδὲ τὰς ἐπικτήσεις νῦν ἀκινδύνους, πολὺ δὲ μᾶλλον
nor the acquisitions now without-danger much and rather
τὰ ὄντα ἐπικίνδυνα. μόνοι δὲ οἱ διὰ θρασύτητα
the(-things) existing dangerous only and the(-men) through rashness
προσιόντες, ἅτε μόνοι, βραχυτάτου πάμπαν ὠνοῦντο. ὅθεν
approaching as alone for-the-least altogether bought whence
τοῖς ἄρχουσιν, ἐλπίσασιν ἐς τὰς τοῦ πολέμου παρασκευὰς
for-the rulers having-hoped for the of-the war preparations
τάδε ἀρκέσειν, ἐνέδει μυριάδων ἔτι δισμυρίων.
these-things to-be-going-to-suffice it-was-lacking myriads still twenty-thousand
32 καὶ τοῦτο ἐς τὸν δῆμον εἰπόντες προύγραφον χιλίας καὶ
and this to the people having-said they-listed a-thousand and
τετρακοσίας γυναῖκας, αἳ μάλιστα πλούτῳ διέφερον· καὶ
four-hundred women who most in-wealth excelled and

αὐτὰς ἔδει, τὰ ὄντα τιμωμένας, ἐσφέρειν ἐς τὰς τοῦ
them it-was-needful the property valuing to-contribute for the of-the
πολέμου χρείας, ὅσον ἑκάστην οἱ τρεῖς δοκιμάσειαν.
war needs as-much-as each the three should-determine
ἐπέκειτό τε ταῖς ἀποκρυψαμέναις τι τῶν ὄντων ἢ
were-laid both on-the(-women) having-concealed any of-the property or
τιμησαμέναις κακῶς ἐπιτίμια καὶ τοῖς ταῦτα μηνύουσιν
having-valued(-it) falsely penalties and to-the(-men) these-things informing
ἐλευθέροις τε καὶ δούλοις μήνυτρα. αἱ δὲ γυναῖκες
free both and slaves rewards-for-informing the and women
ἔκριναν τῶν προσηκουσῶν τοῖς ἄρχουσι γυναικῶν δεηθῆναι.
decided the related to-the rulers women to-beg
τῆς μὲν δὴ Καίσαρος ἀδελφῆς οὐκ ἀπετύγχανον, οὐδὲ
the indeed indeed of-Caesar sister not they-failed nor
τῆς μητρὸς Ἀντωνίου· Φουλβίας δέ, τῆς γυναικὸς Ἀντωνίου,
the mother of-Antony of-Fulvia but the wife of-Antony
τῶν θυρῶν ἀπωθούμεναι χαλεπῶς τὴν ὕβριν ἤνεγκαν καὶ
from-the doors being-thrust-away grievously the insult they-bore and
ἐς τὴν ἀγορὰν ἐπὶ τὸ βῆμα τῶν ἀρχόντων ὠσάμεναι,
into the forum to the tribunal of-the rulers having-pushed
διισταμένων τοῦ τε δήμου καὶ τῶν δορυφόρων, ἔλεγον,
being-parted the both people and the guards they-spoke
Ὁρτησίας ἐς τοῦτο προκεχειρισμένης· "ὃ μὲν ἥρμοζε
Hortensia for this having-been-chosen what indeed befitted
δεομέναις ὑμῶν γυναιξὶ τοιαῖσδε, ἐπὶ τὰς γυναῖκας ὑμῶν
begging of-you women such to the wives your
κατεφύγομεν· ὃ δὲ οὐχ ἥρμοζεν, ὑπὸ Φουλβίας παθοῦσαι,
we-fled what but not befitted by Fulvia having-suffered
ἐς τὴν ἀγορὰν συνεώσμεθα ὑπ' αὐτῆς. ὑμεῖς δ' ἡμᾶς
into the forum we-have-been-thrust by her you and from-us
ἀφείλεσθε μὲν ἤδη γονέας τε καὶ παῖδας καὶ ἄνδρας καὶ
took-away indeed already parents both and children and husbands and

ἀδελφοὺς ἐπικαλοῦντες, ὅτι πρὸς αὐτῶν ἠδίκησθε· εἰ δὲ
brothers charging that by them you-have-been-wronged if but
καὶ τὰ χρήματα προσαφέλοισθε, περιστήσετε ἐς ἀπρέπειαν
also the money you-take-away-besides you-will-reduce(-us) to unseemliness
ἀναξίαν γένους καὶ τρόπων καὶ φύσεως γυναικείας. εἰ
unworthy of-family and of-manners and of-nature female if
μὲν δή τι καὶ πρὸς ἡμῶν, οἷον ὑπὸ τῶν ἀνδρῶν,
indeed indeed anything also by us such-as by the husbands
ἠδικῆσθαί φατε, προγράψατε καὶ ἡμᾶς ὡς ἐκείνους. εἰ δὲ
to-have-been-wronged you-say proscribe also us as them if but
οὐδένα ὑμῶν αἱ γυναῖκες οὔτε πολέμιον ἐψηφισάμεθα οὔτε
no-one of-you the women neither enemy voted nor
καθείλομεν οἰκίαν ἢ στρατὸν διεφθείραμεν ἢ ἐπηγάγομεν
pulled-down house or army destroyed or led-against
ἕτερον ἢ ἀρχῆς ἢ τιμῆς τυχεῖν ἐκωλύσαμεν, τί κοινωνοῦμεν
another or office or honor to-obtain prevented why do-we-share
τῶν κολάσεων αἱ τῶν ἀδικημάτων οὐ μετασχοῦσαι;
of-the punishments the(-women) of-the wrongs not having-shared
33 τί δὲ ἐσφέρωμεν αἱ μήτε ἀρχῆς μήτε τιμῆς μήτε
why and should-we-contribute the(-women) neither of-office nor of-honor nor
στρατηγίας μήτε τῆς πολιτείας ὅλως, τῆς ὑμῖν ἐς τοσοῦτον
of-command nor of-the government at-all the for-you to such
ἤδη κακοῦ περιμαχήτου, μετέχουσαι; ὅτι φατὲ πόλεμον
already of-evil fought-for sharing because you-say war
εἶναι; καὶ πότε οὐ γεγόνασι πόλεμοι; καὶ πότε γυναῖκες
to-be and when not have-there-been wars and when women
συνεισήνεγκαν; ἃς ἡ μὲν φύσις ἀπολύει παρὰ ἅπασιν
contributed whom the indeed nature releases among all
ἀνθρώποις, αἱ δὲ μητέρες ἡμῶν ὑπὲρ τὴν φύσιν ἐσήνεγκάν
men the and mothers our beyond the nature contributed
ποτε ἅπαξ, ὅτε ἐκινδυνεύετε περὶ τῇ ἀρχῇ πάσῃ καὶ
at-some-time once when you-were-in-danger about the empire whole and

περὶ αὐτῇ τῇ πόλει, Καρχηδονίων ἐνοχλούντων. καὶ τότε δὲ
about itself the city Carthaginians harassing and then and
ἐσήνεγκαν ἑκοῦσαι, καὶ οὐκ ἀπὸ γῆς ἢ χωρίων ἢ προικὸς
they-contributed willingly and not from land or estates or dowry
ἢ οἰκιῶν, ὧν χωρὶς ἀβίωτόν ἐστιν ἐλευθέραις, ἀλλὰ ἀπὸ
or houses which without unlivable is for-free-women but from
μόνων τῶν οἴκοι κόσμων, οὐδὲ τούτων τιμωμένων οὐδὲ
only the at-home ornaments not-even these being-valued nor
ὑπὸ μηνυταῖς ἢ κατηγόροις οὐδὲ πρὸς ἀνάγκην ἢ βίαν, ἀλλ'
under informers or accusers nor for compulsion or force but
ὅσον ἐβούλοντο αὐταί. τίς οὖν καὶ νῦν ἐστιν ὑμῖν περὶ τῆς
as-much-as wished themselves what then also now is for-you about the
ἀρχῆς ἢ περὶ τῆς πατρίδος φόβος; ἴτω τοίνυν ἢ Κελτῶν
empire or about the fatherland fear let-come then either of-Gauls
πόλεμος ἢ Παρθυαίων, καὶ οὐ χείρους ἐς σωτηρίαν ἐσόμεθα
war or of-Parthians and not worse for safety shall-we-be
τῶν μητέρων. ἐς δὲ ἐμφυλίους πολέμους μήτε ἐσενέγκαιμέν
than-the mothers for but civil wars neither may-we-contribute
ποτε μήτε συμπράξαιμεν ὑμῖν κατ' ἀλλήλων. οὐδὲ γὰρ
ever nor cooperate with-you against one-another not-even for
ἐπὶ Καίσαρος ἢ Πομπηίου συνεφέρομεν, οὐδὲ Μάριος ἡμᾶς
under Caesar or Pompey did-we-contribute nor Marius us
οὐδὲ Κίννας ἠνάγκασεν οὐδὲ Σύλλας, ὁ τυραννήσας
nor Cinna compelled nor Sulla the(-one) having-tyrannized-over
τῆς πατρίδος· ὑμεῖς δέ φατε καὶ καθίστασθαι τὴν πολιτείαν".
the fatherland you but say also to-be-settling the state
τοιαῦτα τῆς Ὁρτησίας λεγούσης, οἱ τρεῖς ἠγανάκτουν, 34
such — Hortensia saying the three were-indignant
εἰ γυναῖκες ἀνδρῶν ἡσυχαζόντων θρασυνοῦνταί τε καὶ
if women men keeping-quiet will-be-bold both and
ἐκκλησιάσουσι καὶ τὰ δρώμενα τοῖς ἄρχουσιν ἐξετάσουσι
will-hold-assemblies and the(-things) done by-the rulers will-scrutinize

καὶ τῶν ἀνδρῶν στρατευομένων αὐταὶ οὐδὲ χρήματα
and the men serving they not-even money
ἐσοίσουσιν· ἐκέλευόν τε τοῖς ὑπηρέταις ἐξωθεῖν αὐτὰς ἀπὸ
will-contribute ordered both the attendants to-thrust them from
τοῦ βήματος, μέχρι βοῆς ἔξωθεν ἐκ τοῦ πλήθους γενομένης
the tribunal until a-shout outside from the crowd having-arisen
οἵ τε ὑπηρέται τὸ ἔργον ἐπέσχον καὶ οἱ ἄρχοντες ἔφασαν ἐς
the both attendants the work stopped and the rulers said to
τὴν ὑστεραίαν ἀνατίθεσθαι. τῇ δ' ὑστεραίᾳ τετρακοσίας
the next-day to-put(-it)-off on-the and next-day four-hundred
μὲν ἀντὶ χιλίων καὶ τετρακοσίων προύγραφον
indeed instead-of a-thousand and four-hundred they-listed
ἀποτιμᾶσθαι τὰ ὄντα, τῶν δὲ ἀνδρῶν πάντα τὸν
to-value the property of-the and men every the(-one)
ἔχοντα πλείους δέκα μυριάδων, ἀστὸν ὁμοῦ καὶ ξένον καὶ
having more ten myriads citizen together and foreigner and
ἀπελεύθερον καὶ ἱερέα καὶ πανταεθνῆ, μηδενὸς ἀφιεμένου, καὶ
freedman and priest and of-every-nation no-one being-exempted and
τούσδε μεθ' ὁμοίου φόβου τῶν ἐπιτιμίων καὶ ὑπὸ μηνύμασιν
these with like fear of-the penalties and under informations
ὁμοίοις, ἵνα πεντηκοστὴν μὲν τῶν ὄντων αὐτίκα δανείσαιεν
like so-that a-fiftieth indeed of-the property at-once they-should-lend
αὐτοῖς, ἐνιαυτοῦ δὲ φόρον ἐς τὸν πόλεμον ἐσενέγκαιεν.
to-them of-a-year and tax for the war should-contribute
35 ἐκ μὲν δὴ τῶν προσταγμάτων τοιαῦτα Ῥωμαίους
from indeed indeed the orders such(-things) Romans
ἐπεῖχεν, ὁ δὲ στρατὸς σὺν καταφρονήσει χείρονα ἐποίουν.
beset the and army with contempt worse(-things) did
ὡς γὰρ τῶν ἀρχόντων ἐπὶ τοιοῖσδε ἔργοις ἐν σφίσι
as for the rulers for such deeds on them
μόνον τὸ ἀσφαλὲς ἐχόντων, οἳ μὲν αὐτοὺς ᾐτοῦντο τῶν
alone the safety having some indeed them asked of-the

δεδημευμένων οἰκίαν ἢ ἀγρὸν ἢ ἔπαυλιν ἢ ὅλον κλῆρον, οἳ
confiscated(-goods) a-house or a-field or a-villa or whole estate others
δ' αὖ παῖδας ἀνδράσι θετοὺς γενέσθαι· οἳ δὲ ἀφ' ἑαυτῶν
and in-turn children to-men adopted to-become others and of themselves
ἕτερα ἔδρων, κτιννύντες τε τοὺς οὐ προγεγραμμένους
other(-things) did killing both the not proscribed
καὶ οἰκίας οὐδὲν ὑπαιτίων διαφοροῦντες. ὥστε καὶ τοὺς
and houses of-nothing guilty plundering so-that even the
ἄρχοντας προγράψαι τῶν ὑπάτων τὸν ἕτερον ἐπιστροφήν
rulers to-direct-by-edict of-the consuls the other attention
τινα ποιήσασθαι τῶν ὑπὲρ τὸ πρόσταγμα γιγνομένων.
some to-pay to-the(-things) beyond the order happening
ὃ δὲ τῶν μὲν ὁπλιτῶν ἔδεισεν ἅψασθαι, μὴ σφᾶς ἐφ'
he but the indeed heavy-infantry feared to-touch lest them against
ἑαυτὸν παροξύνῃ, τῶν δὲ θεραπόντων τινάς, οἳ σχήματι
himself he-should-provoke of-the but servants some who in-dress
στρατιωτῶν συνεξημάρτανον ἐκείνοις, λαβὼν ἐκρέμασε.
of-soldiers erred-with those having-taken hanged

VI · THE SAVED

Appian turns to those who escaped: many reach Sextus Pompey in Sicily, who welcomes them, or Brutus and Cassius. He tells of wives who hid or followed their husbands, sons who hid, carried, or pleaded for their fathers, and slaves who died in their masters' place, among them Paulus, Lucius, Messala, Acilius, Lentulus, Apuleius, Rheginus, Oppius, Restio, Appius, Menenius, Pomponius, Ventidius, Volusius, Varro, Verginius, Marcus with Barbula, and Cicero's son.

καὶ τὰ μὲν ἐς τέλος τῶν συμφορῶν τοῖς 36
and the(-things) indeed to end of-the misfortunes to-the
προγεγραμμένοις ἀπαντῶντα τοιάδε μάλιστα ἦν· ὅσα δὲ
proscribed happening such most were as-many-as but

ἐκ παραλόγου τισὶν ἐγίγνετο ἔς τε τὴν σωτηρίαν αὐτίκα
from unexpectedness to-some happened to both the safety at-once
καὶ ἐς ἀξίωσιν ὕστερον, ἐμοί τε ἥδιον εἰπεῖν καὶ
and to dignity later for-me both more-pleasant to-tell and
τοῖς ἀκούουσιν ὠφελιμώτερον ἐς μηδὲν ἀποκάμνοντας
to-the(-men) hearing more-useful in nothing despairing
ἐλπίζειν περιέσεσθαι. αἱ μὲν οὖν φυγαὶ τοῖς
to-hope to-be-going-to-survive the indeed then flights for-the(-men)
δυναμένοις ἦσαν ἐς Κάσσιον ἢ Βροῦτον ἢ ἐς Λιβύην ἐπὶ
able were to Cassius or Brutus or to Libya to
Κορνιφίκιον, καὶ τόνδε τῆς δημοκρατίας μεταποιούμενον·
Cornificius also this(-man) the democracy claiming
ὁ δὲ πολὺς ἐς Σικελίαν ᾔει, γειτονεύουσαν τῆς Ἰταλίας,
the but majority to Sicily went neighboring — of-Italy
καὶ Πομπηίου σφᾶς προθύμως ὑποδεχομένου. λαμπροτάτην
and Pompey them eagerly receiving most-brilliant
γὰρ δὴ σπουδὴν ἐς τοὺς ἀτυχοῦντας ὁ Πομπήιος ἐν
for indeed zeal toward the unfortunate — Pompey in
καιρῷ τότε ἔδειξε, κήρυκάς τε περιπέμπων, οἳ πάντας ἐς
season then showed heralds both sending-round who all to
αὐτὸν ἐκάλουν, καὶ τοῖς περισώζουσιν αὐτοὺς ἐλευθέροις
him called and to-the(-men) saving them free
τε καὶ θεράπουσι προλέγων διπλάσια τῶν διδομένων
both and servants proclaiming double of-the(-rewards) given
τοῖς αἱροῦσι· λέμβοι τε αὐτοῦ καὶ στρογγύλα ὑπήντα
to-the(-men) taking(-them) light-boats both of-him and merchantmen met
τοῖς πλέουσι, καὶ τριήρεις τοὺς αἰγιαλοὺς ἐπέπλεον σημεῖά
the(-men) sailing and triremes the shores sailed-along signals
τε ἀνίσχουσαι τοῖς ἀλωμένοις καὶ τὸν ἐντυγχάνοντα
both raising to-the wanderers and the(-man) meeting(-them)
περισώζουσαι. αὐτός τε τοῖς ἀφικνουμένοις ἀπήντα
saving himself both the(-men) arriving met

καὶ ἐσθῆτος αὐτίκα καὶ κατασκευῆς ἐμερίζετο· τοῖς δὲ
and with-clothing at-once and with-equipment shared the(-ones) and
ἀξίοις καὶ ἐς στρατηγίας ἢ ναυαρχίας ἐχρῆτο. σπονδῶν
worthy also for commands or naval-commands used truces
τέ οἱ πρὸς τοὺς τρεῖς γιγνομένων ὕστερον, οὐ συνέθετο,
and to-him with the three happening later not he-agreed
πρὶν καὶ τούσδε τοὺς εἰς αὐτὸν διαφυγόντας ἐς ταύτας
before also these the(-men) to him having-fled into them
περιλαβεῖν. ὃ μὲν δὴ χρησιμώτατος οὕτως ἀτυχούσῃ
to-include he indeed indeed most-useful thus to-the-unfortunate
τῇ πατρίδι ἐγίγνετο καὶ δόξαν ἐκ τοῦδε ἀγαθήν,
the fatherland became and reputation from this good
ἴδιον ἐπὶ τῇ πατρῴᾳ καὶ οὐχ ἧσσονα τήνδε ἐκείνης,
own besides the paternal and not less this(-one) than-that
προσελάμβανεν· ἕτεροι δὲ ἑτέρως φυγόντες ἢ κρυπτόμενοι
gained others and otherwise having-fled or hiding
μέχρι τῶν σπονδῶν, οἳ μὲν ἐν χωρίοις ἢ τάφοις, οἳ
until the truces some indeed in estates or tombs others
δὲ ἐν αὐτῷ τῷ ἄστει, σὺν ἐπινοίαις οἰκτραῖς διεγένοντο.
and in very the city with devices pitiable survived
φιλανδρίαι τε παράδοξοι γυναικῶν ὤφθησαν καὶ παίδων
loves-for-husbands both unexpected of-women were-seen and of-children
ἐς πατέρας εὔνοιαι καὶ θεραπόντων ὑπὲρ φύσιν ἐς
toward fathers loyalties and of-servants beyond nature toward
δεσπότας. καὶ τῶνδε ὅσα παραδοξότατα, ἀναγράψω.
masters and of-these as-many-as most-unexpected I-shall-record
Παῦλος, ὁ ἀδελφὸς Λεπίδου, τῶν λοχαγῶν αὐτὸν ὡς 37
Paulus the brother of-Lepidus the centurions him as
ἀδελφὸν αὐτοκράτορος αἰδουμένων, ἐπὶ ἀδείας ἐξέπλευσεν
brother of-an-imperator respecting under safety sailed-off
ἐς Βροῦτον καὶ ἐς Μίλητον μετὰ Βροῦτον· ὅθεν οὐδὲ
to Brutus and to Miletus after Brutus whence not-even

εἰρήνης ὕστερον γενομένης καλούμενος ἐπανελθεῖν ἠξίωσε.
peace later having-come being-called to-return he-deigned
Λεύκιον δέ, τὸν Ἀντωνίου θεῖον, ἡ Ἀντωνίου μήτηρ
Lucius and the of-Antony uncle the of-Antony mother
ἀδελφὸν ὄντα εἶχεν οὐδ' ἐπικρύπτουσα, αἰδουμένων ἐς
brother being had not-even concealing(-him) respecting for
πολὺ καὶ τήνδε τῶν λοχαγῶν ὡς μητέρα αὐτοκράτορος.
long also her the centurions as mother of-an-imperator
βιαζομένων δ' ὕστερον ἐξέθορεν ἐς τὴν ἀγορὰν καὶ
using-force but later she-leapt-out to the forum and
προκαθημένῳ τῷ Ἀντωνίῳ μετὰ τῶν συνάρχων ἔφη·
presiding — to-Antony with the colleagues she-said
"ἐμαυτήν, ὦ αὐτοκράτορ, μηνύω σοι Λεύκιον ὑποδεδέχθαι
myself O imperator I-inform-on to-you Lucius to-have-received
τε καὶ ἔχειν ἔτι καὶ ἕξειν, ἕως ἂν ἡμᾶς
both and to-have(-him) still and to-be-going-to-have(-him) until — us
ὁμοῦ κατακάνῃς· τὰ γὰρ ὅμοια καὶ τοῖς
together you-kill the(-penalties) for alike also for-the(-ones)
ὑποδεδεγμένοις ἐπικεκήρυκται". ὃ δὲ αὐτὴν ἐπιμεμψάμενος
having-received have-been-proclaimed he and her having-reproached
ὡς ἀδελφὴν μὲν ἀγαθήν, μητέρα δὲ οὐκ εὐγνώμονα (οὐ γὰρ
as sister indeed good mother but not considerate not for
νῦν χρῆναι περισώζειν Λεύκιον, ἀλλὰ κωλύειν, ὅτε σου
now to-be-needful to-save Lucius but to-prevent(-it) when your
τὸν υἱὸν εἶναι πολέμιον ἐψηφίζετο), παρεσκεύασεν ὅμως
the son to-be enemy was-voted arranged nevertheless
Πλάγκον ὑπατεύοντα κάθοδον τῷ Λευκίῳ ψηφίσασθαι.
Plancus being-consul restoration — for-Lucius to-vote

38 Μεσσάλας δὲ ἐπιφανὴς νέος ἐς Βροῦτον ἔφυγε, καὶ αὐτοῦ
Messala and notable young to Brutus fled and of-him
δείσαντες οἱ τρεῖς τὸ φρόνημα προύγραψαν οὕτως· "ἐπεὶ
having-feared the three the spirit posted(-notice) thus since

Μεσσάλαν ἀπέφηναν ἡμῖν οἱ προσήκοντες αὐτῷ μηδὲ
Messala declared to-us the(-men) related to-him not-even
ἐπιδημεῖν, ὅτε Γάιος Καῖσαρ ἀνῃρεῖτο, ἐξῃρήσθω τῶν
to-be-in-town when Gaius Caesar was-killed let-be-removed from-the
προγραφέντων ὁ Μεσσάλας". ὃ δὲ τὴν μὲν συγγνώμην οὐκ
proscribed — Messala he and the indeed pardon not
ἐδέξατο, Βρούτου δὲ καὶ Κασσίου περὶ Θρᾴκην πεσόντων
accepted of-Brutus but and Cassius about Thrace having-fallen
καὶ τοῦ στρατοῦ πολλοῦ τε ἔτι ὄντος καὶ ναῦς καὶ χρήματα
and the army large both still being and ships and money
καὶ ἐλπίδας ἔχοντος οὐκ ἀσθενεῖς, ἄρχειν σφῶν τὸν
and hopes having not weak to-command them —
Μεσσάλαν αἱρουμένων οὐκ ἀνασχόμενος, ἔπεισεν αὐτοὺς
Messala choosing not having-consented he-persuaded them
ἐνδόντας ἐπιβαρούσῃ τῇ τύχῃ μεταστρατεύσασθαι τοῖς
yielding to-pressing the fortune to-change-sides to-the(-men)
ἀμφὶ τὸν Ἀντώνιον. οἰκειότερος δὲ ὢν Ἀντωνίῳ συνῆν,
around — Antony more-intimate and being with-Antony he-was-with(-him)
μέχρι κρατούσης Ἀντωνίου Κλεοπάτρας ἐπιμεμψάμενος
until prevailing over-Antony Cleopatra having-reproached(-him)
ἐς Καίσαρα μετῆλθεν. ὃ δὲ αὐτὸν ὕπατόν τε ἀπέφηνεν
to Caesar went-over he and him consul both declared
ἀντὶ αὐτοῦ Ἀντωνίου, ἀποχειροτονηθέντος, ὅτε αὖθις
instead-of himself Antony having-been-deposed when again
ἐψηφίζετο εἶναι πολέμιος, καὶ περὶ Ἄκτιον ναυαρχήσαντα
he-was-voted to-be enemy and at Actium having-commanded-the-fleet
κατὰ τοῦ Ἀντωνίου στρατηγὸν ἔπεμψεν ἐπὶ Κελτοὺς
against — Antony general sent against Gauls
ἀφισταμένους καὶ νικήσαντι ἔδωκε θριαμβεῦσαι. Βύβλος
revolting and having-conquered gave(-him) to-triumph Bibulus
δὲ ἐσπείσατο ἅμα τῷ Μεσσάλᾳ καὶ ἐναυάρχησεν
and made-terms together-with — Messala and commanded-a-fleet

Ἀντωνίῳ διαλλαγάς τε πολλάκις Ἀντωνίῳ καὶ Καίσαρι
for-Antony reconciliations both often for-Antony and for-Caesar
ἐς ἀλλήλους ἐπόρθμευσε καὶ στρατηγὸς ἀπεδείχθη Συρίας
to one-another ferried and governor was-appointed of-Syria
ὑπὸ Ἀντωνίου καὶ στρατηγῶν ἔτι αὐτῆς ἀπέθανεν.
by Antony and governing still it died
39 Ἀκίλιος δὲ ἔφευγε μὲν τῆς πόλεως λαθών, οἰκέτου δ'
Acilius and fled indeed from-the city unnoticed a-servant and
αὐτὸν ἐμφήναντος ὁπλίταις, τοὺς ὁπλίτας ἔπεισεν ἐλπίδι
him having-revealed to-soldiers the soldiers he-persuaded by-hope
χρημάτων πλεόνων πέμψαι τινὰς ἀπὸ σφῶν πρὸς τὴν
of-money more to-send some of themselves to the
γυναῖκα μετὰ συμβόλων ὧν αὐτὸς ἐδίδου. ἥ δὲ τοῖς
wife with tokens which he-himself gave she and to-the(-men)
ἐλθοῦσιν τὸν κόσμον αὑτῆς ἅπαντα προθεῖσα ἔφη διδόναι
having-come the jewelry of-herself all having-set-out said to-give(-it)
μὲν ὡς ἀντιδώσουσιν, ἃ ὑπέσχοντο, οὐκ εἰδέναι δέ, εἰ
indeed as they-will-give-in-return what they-promised not to-know but if
ἀντιδώσουσιν. οὐ μὴν ἐψεύσθη τῆς φιλανδρίας· οἱ γὰρ
they-will-give-in-return not indeed was-she-deceived of-the love-of-husband the for
ὁπλῖται καὶ ναῦν ἐμίσθωσαν τῷ Ἀκιλίῳ καὶ προύπεμψαν
soldiers both a-ship hired — for-Acilius and sent(-him)-ahead
ἐς Σικελίαν. Λέντλος δέ, ἀξιούσης αὐτῷ συμφεύγειν τῆς
to Sicily Lentulus and asking him to-flee-with the
γυναικὸς καὶ ἐς τοῦτο αὐτὸν ἐπιτηρούσης, οὐκ ἐθέλων
wife and for this him watching not wishing
αὐτὴν συγκινδυνεύειν ἑαυτῷ, λαθὼν ἔφυγεν ἐς Σικελίαν,
her to-share-danger with-himself secretly fled to Sicily
στρατηγὸς δὲ ἀποδειχθεὶς ὑπὸ Πομπηίου ἐσήμηνεν, ὅτι
praetor and having-been-appointed by Pompey he-signaled that
σώζοιτο καὶ στρατηγοίη. ἥ δ', ὅποι γῆς ἐστιν ὁ ἀνήρ,
he-was-safe and was-praetor she and where on-earth is the husband

ἐπιγνοῦσα τὴν μητέρα φυλάσσουσαν ἐξέφυγε καὶ ἥδε σὺν
having-learned the mother guarding(-her) escaped and she with
θεράπουσι δύο· μεθ' ὧν ὥδευεν ἐπιμόχθως καὶ εὐτελῶς οἷα
servants two with whom she-traveled toilsomely and cheaply as
θεράπαινα, μέχρι διέπλευσεν ἐς Μεσσήνην ἀπὸ Ῥηγίου περὶ
a-maidservant until she-crossed to Messana from Rhegium about
ἑσπέραν. καὶ οὐ δυσχερῶς τὴν στρατηγίδα σκηνὴν μαθοῦσα,
evening and not with-difficulty the general's tent having-learned
εὗρε τὸν Λέντλον οὐχ οἷα στρατηγόν, ἀλλ' ἐν χαμευνίῳ
found — Lentulus not as a-general but on a-pallet
καὶ κόμῃ καὶ διαίτῃ πονηρᾷ πόθῳ τῆς γυναικός.
and with-hair and with-living wretched from-longing for-the wife
Ἀπουληίῳ δὲ ἠπείλησεν ἡ γυνὴ καταμηνύσειν αὐτόν, εἰ 40
to-Apuleius and threatened the wife to-be-going-to-inform-on him if
μόνος φεύγοι· καὶ ὁ μὲν ἄκων αὐτὴν ἐπήγετο, συνήνεγκε
alone he-should-flee and he indeed unwilling her took-along helped
δὲ ἐς τὴν φυγὴν αὐτῷ τὸ ἀνύποπτον, ἅμα
and for the flight him the unsuspected(-appearance) together-with
γυναικὶ καὶ θεράπουσι καὶ θεραπαίναις ὁδεύοντι φανερῶς.
wife and servants and maidservants traveling openly
Ἄντιον δὲ ἡ γυνὴ στρωματοδέσμῳ κατείλησε καὶ ἐπέθηκε
Antius and the wife in-a-bedding-bundle rolled-up and put(-him)
τοῖς μισθοῦ φέρουσι καὶ διήνεγκεν ἀπὸ τῆς οἰκίας ἐπὶ
on-the(-men) for-pay carrying and carried(-him) from the house to
θάλασσαν, ὅθεν ἔφυγεν ἐς Σικελίαν. Ῥηγῖνον δὲ ἡ γυνὴ
the-sea whence he-fled to Sicily Rheginus and the wife
νυκτὸς ἐς ὑπόνομον λυμάτων καθῆκεν, ἐς ὃν ἡμέρας
by-night into a-sewer of-filth let-down into which by-day
οὐχ ὑποστάντων ἐμβῆναι τῶν ὁπλιτῶν διὰ δυσοδμίαν,
not having-ventured to-enter the soldiers because-of the-stench
νυκτὸς ἄλλης εἰς ἀνθρακέα ἐσκεύασε καὶ ὄνον ἄνθρακας
on-night another as a-charcoal-seller she-dressed(-him) and an-ass charcoal

φέροντα ἐλαύνειν ἔδωκεν· αὐτὴ δὲ ἐκ βραχέος διαστήματος
carrying to-drive gave(-him) she and at a-short distance
ἡγεῖτο φορείῳ φερομένη. τῶν δὲ ἀμφὶ τὰς πύλας ὁπλιτῶν
led in-a-litter being-carried of-the and around the gates soldiers
τινος τὸ φορεῖον ὑπονοήσαντός τε καὶ ἐρευνωμένου,
one the litter having-suspected both and searching
δείσας ὁ Ῥηγῖνος ἐπέδραμε καὶ ὡς ὁδῷ χρώμενος
having-feared — Rheginus ran-up and as a-road using
ἠξίου τὸν ὁπλίτην φείδεσθαι γυναικῶν. ὁ δὲ αὐτὸν ὡς
asked the soldier to-spare women he and him as
ἀνθρακέα μετ' ὀργῆς ἀμειβόμενος ἐγνώρισεν (ἐστράτευτο
a-charcoal-seller with anger answering recognized he-had-served
γὰρ ὑπ' αὐτῷ ποτε ἐν Συρίᾳ) καὶ "ἄπιθι χαίρων", εἶπεν,
for under him once in Syria and go-away rejoicing he-said
"αὐτοκράτορ· τοῦτο γάρ μοι προσήκει καὶ νῦν καλεῖν σε".
imperator this for to-me befits even now to-call you
Κοπώνιον δὲ τὸ γύναιον ᾔτησε παρὰ Ἀντωνίου, σώφρων
Coponius and the wife begged-off from Antony chaste
μὲν οὖσα τέως, ἀτυχήματι δὲ τὸ ἀτύχημα ἰωμένη.
indeed being till-then by-misfortune but the misfortune curing
41 Γέταν δὲ ὁ υἱὸς ἐν εὐρυχώρῳ τῆς οἰκίας ἔδοξε καίειν
Geta and the son in an-open-space of-the house seemed to-burn
ὡς ἀπαγξάμενον καὶ λαθὼν ἐν ἀγρῷ νεωνήτῳ κατέλιπεν,
as having-hanged-himself and secretly on a-farm newly-bought left(-him)
ἔνθα ὁ πρεσβύτης μεταμορφῶν ἑαυτὸν ἐπεδήσατο
where the old-man disguising himself bound-on
διφθέραν ἐς τὸν ἕτερον ὀφθαλμόν. καὶ τῶν σπονδῶν
a-skin over the one eye and the truces
γενομένων ἔλυσε τὴν διφθέραν, καὶ ὁ ὀφθαλμὸς ὑπὸ
having-come loosed the skin and the eye by
τῆς ἀργίας δεδαπάνητο. Ὄππιον δὲ ὁ υἱός, ὑπὸ γήρως
the disuse had-been-destroyed Oppius and the son by old-age

ἀσθενεστάτου μένειν ἐθέλοντα, ἔφερεν ἐπὶ τοῦ σώματος,
most-feeble to-stay wishing carried on the body
ἕως ἐξήγαγέ τε διὰ τῶν πυλῶν καὶ τὸ λοιπὸν
until he-brought(-him)-out both through the gates and the rest(-of-the-way)
μέχρι Σικελίας ἄγων ἢ φέρων ἐκόμισεν, οὐδενὸς ἄρα
as-far-as Sicily leading or carrying conveyed no-one then
τὸ σχῆμα ὑπονοήσαντος ἢ ἐνυβρίσαντος, οἷόν που καὶ
the sight having-suspected or having-insulted as somewhere also
τὸν Αἰνείαν γράφουσιν αἰδέσιμον τοῖς πολεμίοις γενέσθαι
— Aeneas they-write respected by-the enemies to-have-become
φέροντα τὸν πατέρα. καὶ τὸν νεανίαν ὁ δῆμος ἐπαινῶν
carrying the father and the young-man the people praising
ὕστερον ἀπέφηνεν ἀγορανόμον· δεδημευμένης δ' αὐτῷ
later appointed aedile having-been-confiscated and to-him
τῆς οὐσίας οὐκ ἔχοντι τῆς ἀρχῆς τὸ δαπάνημα οἵ τε
the property not having of-the office the expense the both
χειροτέχναι τὰ ἐς τὴν ἀρχὴν ἀμισθὶ συνειργάσαντο,
craftsmen the(-things) for the office unpaid worked-together
καὶ τῶν θεωμένων ἕκαστος ἐπὶ τὴν ὀρχήστραν ὅσον
and of-the(-men) watching each on the orchestra as-much-as
ἐβούλετο νόμισμα ἐρρίπτει, ἕως τὸν ἄνδρα κατεπλούτισαν.
wished coin threw until the man they-enriched
Ἀρριανοῦ δὲ καὶ ἐν τῇ στήλῃ κεκόλαπτο ἐκ διαθηκῶν·
of-Arrianus and also on the tombstone had-been-carved from will
"τὸν ἐνθάδε κείμενον υἱὸς οὐ προγραφεὶς προγραφέντα
the(-man) here lying a-son not proscribed proscribed
ἔκρυψέ τε καὶ συνέφυγε καὶ περιέσωσε".
hid both and fled-with and saved
Μετέλλω δὲ ἦστην υἱός τε καὶ πατήρ· καὶ αὐτοῖν ὁ μὲν 42
Metelli and were son both and father and of-them the indeed
πατὴρ στρατηγῶν Ἀντωνίῳ περὶ Ἄκτιον αἰχμάλωτος ἑάλω
father being-general for-Antony at Actium captive was-taken

καὶ ἠγνοεῖτο, ὁ δὲ υἱὸς τῷ Καίσαρι συνεστρατεύετο
and was-unrecognized the and son — with-Caesar served
καὶ ἐστρατηγήκει καὶ ὅδε περὶ τὸ Ἄκτιον. ἐν δὲ Σάμῳ
and had-been-general also this(-one) at — Actium in and Samos
διακρίνοντι τῷ Καίσαρι τοὺς αἰχμαλώτους ὁ μὲν παῖς
judging — to-Caesar the captives the indeed son
συνήδρευεν, ὁ δὲ πρεσβύτης ἤγετο κόμης τε ἔμπλεως
sat-with(-him) the and old-man was-led of-hair both full
καὶ δύης καὶ ῥύπου καὶ τῆς ἐκ τῶνδε μεταμορφώσεως.
and of-misery and of-filth and of-the from these disfigurement
ὡς δὲ ἐν τῇ τάξει τῶν αἰχμαλώτων ὑπὸ τοῦ κήρυκος
when and in the order of-the captives by the herald
ἀνεκλήθη, ἀνέθορεν ὁ υἱὸς ἐκ τοῦ συνεδρίου καὶ μόλις
he-was-called leapt-up the son from the council and with-difficulty
ἐπιγνοὺς τὸν πατέρα ἠσπάζετο σὺν οἰμωγῇ· ἐπισχὼν δέ
recognizing the father embraced(-him) with wailing having-checked and
ποτε τοῦ θρήνου πρὸς τὸν Καίσαρα ἔφη· "οὗτος μέν σοι
at-length the lament to — Caesar he-said this(-man) indeed to-you
πολέμιος γέγονεν, ὦ Καῖσαρ, ἐγὼ δὲ σύμμαχος· καὶ χρὴ
an-enemy has-been O Caesar I but ally and it-is-needful
τοῦτον μέν σοι δοῦναι δίκην, ἐμὲ δὲ γέρας εὑρέσθαι.
this(-man) indeed to-you to-pay penalty me but reward to-obtain
αἰτῶ δή σε τὸν πατέρα σώζειν δι' ἐμὲ ἢ δι' ἐκεῖνον ἐμὲ
I-ask indeed you the father to-save for me or for him me
συγκατακανεῖν". οἴκτου δὲ ἐξ ἁπάντων γενομένου μεθῆκε
to-kill-with(-him) pity and from all having-arisen allowed
σώζεσθαι τὸν Μέτελλον ὁ Καῖσαρ, καίτοι πολεμιώτατον
to-be-saved — Metellus — Caesar although most-hostile
αὐτῷ γενόμενον καὶ δωρεῶν πολλῶν, εἰ μεταθοῖτο
to-him having-been and gifts many if he-would-change-over
πρὸς αὐτὸν ἀπ' Ἀντωνίου, πολλάκις ὑπεριδόντα.
to him from Antony often having-scorned

Μᾶρκον δὲ οἱ θεράποντες σὺν εὐνοίᾳ καὶ τύχῃ πάντα τὸν 43
Marcus and the servants with goodwill and fortune all the
τῆς προγραφῆς χρόνον διεφύλαξαν ἔνδον ἐπὶ τῆς οἰκίας,
of-the proscription time guarded inside in the house
μέχρι τῆς ἀδείας δοθείσης ὁ Μᾶρκος ἐξῄει τῆς
until the amnesty having-been-given — Marcus went-out from-the
οἰκίας ὡς ἀπὸ φυγῆς. Ἵρτιος δὲ σὺν τοῖς οἰκέταις
house as from exile Hirtius and with the household-slaves
ἐκφυγὼν τῆς πόλεως διώδευε τὴν Ἰταλίαν, ἐκλύων τε
having-escaped from-the city traversed — Italy freeing both
δεσμώτας καὶ συνάγων τοὺς ἀποδιδράσκοντας καὶ πολίχνια
prisoners and gathering the runaways and towns
δῃῶν, ὀλίγα πρῶτον, εἶτα καὶ μείζω, μέχρι χειρὸς ἱκανῆς
ravaging small first then also bigger until a-band sufficient
ἐκράτησε καὶ τὸ Βρεττίων ἔθνος ἐχειρώσατο καί, στρατοῦ
he-mastered and the of-Bruttians nation subdued and an-army
πεμφθέντος ἐπ᾽ αὐτόν, ἐς Πομπήιον μεθ᾽ ὅσων εἶχε
having-been-sent against him to Pompey with as-many-as he-had
διέπλευσε. Ῥεστίωνι δὲ οἰομένῳ μόνῳ φεύγειν οἰκέτης
crossed Restio and thinking alone to-flee a-household-slave
εἵπετο λανθάνων, ἀνάθρεπτος μὲν αὐτοῦ Ῥεστίωνος καὶ
followed unnoticed foster-child indeed himself of-Restio and
πολλὰ πρότερον εὖ παθών, διὰ δὲ μοχθηρίαν
many(-things) before well having-been-treated because-of but wickedness
ὕστερον ἐστιγμένος. ἀναπαυομένῳ δὲ ἐν ἕλει τῷ Ῥεστίωνι
later branded resting and in a-marsh — to-Restio
ἐπιστὰς ὁ θεράπων ἐξέπληξε μὲν αὐτίκα ὀφθείς,
having-stood-over the servant terrified(-him) indeed at-once being-seen
δεδοικότι δὲ ἔφη οὐ τῶν παρόντων στιγμάτων αἰσθάνεσθαι
fearing but he-said not the present brands to-feel
μᾶλλον ἢ μνημονεύειν τῶν πρότερον εὐεργετημάτων. καὶ
more than to-remember the earlier benefits and

αὐτὸν εἴς τι σπήλαιον ἀναπαύσας εἰργάζετο καὶ τροφὰς
him in some cave having-rested worked and food
αὐτῷ συνέλεγεν, ὡς ἐδύνατο. ὑπονοίας δέ τινος ἀμφὶ τὸ
for-him collected as he-could suspicion and some about the
σπήλαιον τοῖς ἐγγὺς ὁπλίταις περὶ τοῦ Ῥεστίωνος γενομένης
cave to-the nearby soldiers about — Restio having-arisen
καὶ χωρούντων ἐπ᾽ αὐτόν, ὁ οἰκέτης εἵπετο συνεὶς
and advancing on him the servant followed understanding
καί τινα πρεσβύτην προοδεύοντα προδραμὼν ἀπέκτεινε
and some old-man walking-ahead having-run-ahead killed
καὶ τὴν κεφαλὴν ἀπέτεμεν. ἐκπλαγέντων δὲ τῶν ὁπλιτῶν
and the head cut-off being-astonished and the soldiers
καὶ ὡς ἀνδροφόνον ὁδοιπόρου περισχόντων, “Ῥεστίωνα”,
and as murderer of-a-wayfarer surrounding(-him) Restio
ἔφη, “ἔκτεινα, τὸν ἐμαυτοῦ δεσπότην, τάδε μοι τὰ
he-said I-killed the my-own master these on-me the
στίγματα ἐγχαράξαντα”. οἱ μὲν δὴ τὴν κεφαλὴν αὐτὸν
brands having-engraved they indeed indeed the head him
ἀφελόμενοι διὰ τὸ γέρας, ἠπείγοντο μάτην ἐς τὸ ἄστυ,
having-taken-away for the reward hastened in-vain to the city
ὁ δὲ τὸν δεσπότην ἀναστήσας διέπλευσεν ἐς Σικελίαν.
he and the master having-raised-up sailed to Sicily
44 Ἄππιον δὲ ἀναπαυόμενον ἐν ἐπαύλει, τῶν ὁπλιτῶν
Appius and resting in a-villa the soldiers
ἐπιθεόντων, οἰκέτης τὴν ἑαυτοῦ ἐσθῆτα ἐνέδυσε, καὶ
running-up a-household-slave the his-own clothes put-on(-him) and
αὐτὸς εἰς τὴν εὐνὴν οἷα δεσπότης ἀνακλιθεὶς ἑκὼν
himself in the bed as master having-reclined willingly
ἀπέθανεν ἀντὶ τοῦ δεσπότου, παρεστῶτος ὡς οἰκέτου.
died instead-of the master standing-by as a-slave
Μενηνίου δὲ τὴν οἰκίαν καταλαβόντων ὁπλιτῶν, θεράπων
of-Menenius and the house having-seized soldiers a-servant

ἐς τὸ τοῦ δεσπότου φορεῖον ἐνέβη καὶ ὑπὸ τῶν
into the of-the master litter got and by the
ὁμοδούλων συνεργούντων ἐξεφέρετο, ἕως ὅδε μὲν
fellow-slaves helping was-carried-out until this(-man) indeed
ὡς Μενήνιος ἑκὼν ἀνῄρητο, Μενήνιος δὲ ἐς Σικελίαν
as Menenius willingly had-been-killed Menenius and to Sicily
διέφυγεν. Οὐίνιον δὲ ἀπελεύθερος αὐτοῦ Οὐινίου, Φιλήμων,
escaped Vinius and a-freedman of-him of-Vinius Philemon
οἰκίαν κεκτημένος λαμπράν, ἐν τῷ μεσαιτάτῳ τῆς οἰκίας
a-house having-acquired splendid in the very-middle of-the house
ἔκρυψεν ἐν λάρνακι, ἃς ἀπὸ σιδήρου ἐς χρημάτων
hid(-him) in a-chest such-as from iron for of-money
ἢ βιβλίων ἔχουσι φυλακήν· καὶ νυκτὸς ἔτρεφε μέχρι
or of-books they-have keeping and by-night fed(-him) until
τῶν σπονδῶν. ἕτερος δὲ ἀπελεύθερος, τάφον δεσπότου
the truces another and freedman the-tomb of-master
φυλάσσων, τὸν δεσπόσυνον προγραφέντα ἐφύλασσεν ἐν
guarding the master's-son proscribed guarded in
τῷ τάφῳ μετὰ τοῦ πατρός. Λουκρήτιος ἀλώμενος σὺν
the tomb with the father Lucretius wandering with
δυσὶ θεράπουσιν ἀγαθοῖς ὑπὸ ἀπορίας τῶν τροφῶν ᾔει
two servants good from want of-the food went
πρὸς τὴν γυναῖκα, φορείῳ φερόμενος ὑπὸ τῶν οἰκετῶν
to the wife in-a-litter being-carried by the household-slaves
οἷά τις ἄρρωστος, ἐς τὴν πόλιν. ἑνὸς δὲ τῶν
as some sick(-man) into the city one and of-the(-men)
φερόντων τὸ σκέλος συντριβέντος τῷ ἑτέρῳ τὴν χεῖρα
carrying the leg having-been-crushed on-the other the hand
ἐπιθεὶς ᾔει. παρὰ δὲ ταῖς πύλαις γενόμενος, ἔνθα αὐτοῦ
having-put he-went at and the gates having-arrived where of-him
καὶ ὁ πατὴρ ὑπὸ Σύλλα προγραφεὶς ἑαλώκει, εἶδε
also the father by Sulla proscribed had-been-caught he-saw

λόχον ὁπλιτῶν ἐκτρέχοντα καὶ πρὸς τὸ συγκύρημα τοῦ
a-company of-soldiers running-out and at the coincidence of-the
τόπου καταπλαγεὶς συνεκρύφθη μετὰ τοῦ θεράποντος
place having-been-terrified hid-together with the servant
ἐν τάφῳ. τυμβωρύχων δὲ τοὺς τάφους ἐρευνωμένων,
in a-tomb tomb-robbers and the tombs searching
ὁ θεράπων ἑαυτὸν τοῖς τυμβωρύχοις παρέσχε περιδύειν,
the servant himself to-the tomb-robbers offered to-strip
μέχρι Λουκρήτιον ἐπὶ τὰς πύλας διαφυγεῖν. ἐκεῖ δὲ αὐτὸν
until Lucretius to the gates to-escape there and him
ὁ Λουκρήτιος περιμείνας τε καὶ τῆς ἑαυτοῦ μερισάμενος
— Lucretius having-awaited both and the his-own having-shared
ἐσθῆτος, ἦκε πρὸς τὴν γυναῖκα καὶ ὑπ᾽ αὐτῆς ἐκρύπτετο ἐπὶ
clothing came to the wife and by her was-hidden on
διπλῆς ὀροφῆς μεταξύ, μέχρι τινὲς αὐτὸν ἐρρύσαντο παρὰ
a-double roof between until some him rescued from
τῶν προγραψάντων. καὶ ὕστερον ἐπὶ εἰρήνης ὑπάτευσεν.
the(-men) having-proscribed(-him) and later in peace was-consul
45 Σέργιος δὲ ἐκρύφθη παρ᾽ αὐτῷ Ἀντωνίῳ, μέχρι Πλάγκον
Sergius and was-hidden with himself Antony until Plancus
ὑπατεύοντα ὁ Ἀντώνιος ἔπεισε κάθοδον αὐτῷ ψηφίσασθαι.
being-consul — Antony persuaded restoration for-him to-vote
καὶ ἐπὶ τῷδε ὁ Σέργιος ὕστερον, ἐν τῇ Καίσαρος καὶ
and for this — Sergius later in the of-Caesar and
Ἀντωνίου στάσει, τῆς βουλῆς ψηφιζομένης εἶναι πολέμιον
of-Antony quarrel the senate voting to-be enemy
τὸν Ἀντώνιον, μόνος τὴν ἀπολύουσαν ἔφερε φανερῶς. καὶ
— Antony alone the acquitting(-vote) cast openly and
οἵδε μὲν οὕτως ἐσώζοντο, Πομπώνιος δὲ εἰς στρατηγοῦ
these indeed thus were-saved Pomponius and into of-a-praetor
σχῆμα κοσμήσας ἑαυτὸν καὶ τοὺς θεράποντας ἐς ὑπηρέτας
dress having-arrayed himself and the servants as attendants

σκευάσας τὴν πόλιν ὡς στρατηγὸς ὑπὸ ῥαβδούχοις διῆλθεν,
having-dressed the city as praetor under lictors passed-through
ἐπιθλιβόντων αὐτὸν τῶν ὑπηρετῶν, ἵνα μὴ γνωσθείη
crowding-around him the attendants so-that not he-might-be-recognized
πρὸς ἑτέρου, καὶ παρὰ ταῖς πύλαις ὀχημάτων τε δημοσίων
by another and at the gates carriages both public
ἐπέβη καὶ τὴν Ἰταλίαν διώδευεν, ἀποδεχομένων αὐτὸν
mounted and — Italy traversed receiving him
καὶ παραπεμπόντων ἁπάντων οἷα στρατηγὸν ὑπὸ τῶν
and escorting all as a-praetor by the
τριῶν ἀνδρῶν ἐπὶ σπονδὰς ἐς Πομπήιον ἀπεσταλμένον,
three men for truces to Pompey sent
μέχρι καὶ δημοσίᾳ τριήρει διέπλευσε πρὸς ἐκεῖνον.
until also in-a-public trireme he-crossed to him
Ἀπουλήιος δὲ καὶ Ἀρρούντιος ὑποκριθέντες εἶναι λοχαγοὶ 46
Apuleius and and Arruntius having-pretended to-be centurions
καὶ τοὺς θεράποντας ἐς στρατιώτας σκευάσαντες, τὰς
and the servants as soldiers having-dressed the
μὲν πύλας διέδραμον ὡς λοχαγοὶ διώκοντες ἑτέρους, τὴν
indeed gates ran-through as centurions pursuing others the
δὲ λοιπὴν ὁδὸν διελόμενοι τοὺς δεσμώτας ἐξέλυον καὶ
and remaining road having-divided the prisoners freed and
τοὺς ἀποδράντας συνέλεγον, μέχρι χειρὸς ἱκανῆς ἑκατέρῳ
the runaways gathered until a-band sufficient to-each
γενομένης σημεῖά τε ἦν ἤδη καὶ ὅπλα καὶ ὄψις
having-become standards both there-were already and arms and look
στρατοῦ. χωρῶν δὲ ἑκάτερος αὐτῶν ἐπὶ θάλασσαν, ἀμφί
of-an-army going and each of-them toward the-sea about
τινι λόφῳ σταθμεύουσι, μεγάλῳ δέει καθορῶντες ἀλλήλους.
some hill they-halt with-great fear watching one-another
ἅμα δὲ ἕῳ περινεύοντες ἐκ τοῦ λόφου ἔδοξαν
together-with and dawn peering-around from the hill thought

ἀλλήλους ἑκάτερος στρατὸν ἐπὶ σφᾶς ἐπιπεμφθέντα εἶναι
one-another each an-army against themselves sent to-be
καὶ συμπλακέντες ἐμάχοντο, μέχρι ποτὲ ἔγνωσαν
and having-closed fought until at-last they-recognized(-each-other)
καὶ τὰ ὅπλα ἀπερρίπτουν καὶ ὠλοφύροντο καὶ τὴν τύχην ὡς
and the arms threw-away and lamented and the fortune as
ἐπιβαροῦσάν σφισιν ἐς ἅπαντα ἐπεμέμφοντο. διαπλεύσαντες
pressing-hard on-them in everything blamed having-sailed-across
δὲ ὁ μὲν ἐς Βροῦτον, ὁ δ' ἐς Πομπήιον, ὁ
and the(-one) indeed to Brutus the(-other) and to Pompey the(-one)
μὲν τῷ Πομπηίῳ συγκατῆλθεν, ὁ δὲ ἐστρατήγησε
indeed — with-Pompey returned-home the(-other) and was-general
τῷ Βρούτῳ Βιθυνίας καὶ Βρούτου πεσόντος Ἀντωνίῳ
— for-Brutus of-Bithynia and Brutus having-fallen to-Antony
παραδοὺς Βιθυνίαν κατήχθη. Οὐεντίδιον δὲ ἀπελεύθερος
having-handed-over Bithynia was-restored Ventidius and a-freedman
εὐθὺς μὲν προγραφέντα κατέδησεν ὡς παραδώσων τοῖς
at-once indeed proscribed bound as going-to-hand(-him)-over to-the
σφαγεῦσι, νυκτὸς δὲ τοὺς θεράποντας ἔπεισε καὶ ἐσκεύασεν
slayers by-night but the servants persuaded and dressed(-them)
ὡς ὁπλίτας καὶ τὸν δεσπότην ὡς λοχαγὸν ἐξήγαγε· τήν τε
as soldiers and the master as centurion led-out the both
ἄλλην Ἰταλίαν μέχρι Σικελίας διώδευσαν καὶ συγκατέλυσαν
rest-of Italy as-far-as Sicily they-traversed and lodged-together
πολλάκις ἑτέροις λοχαγοῖς ζητοῦσιν Οὐεντίδιον.
often with-other centurions seeking Ventidius
47 ἕτερον ἐν τάφῳ κρύπτων ἀπελεύθερος, οὐ φέροντα
another in a-tomb hiding a-freedman not bearing
φαντασίαν τάφου, μετήγαγεν ἐς φαῦλον οἴκημα μισθωτόν.
the-impression of-the-tomb moved to a-mean dwelling hired
στρατιώτου δ' αὐτῷ παρακατοικισθέντος, οὐδὲ τοῦτον
a-soldier and beside-him having-been-quartered not-even this

φέρων τὸν φόβον ἐς θαυμαστὴν τόλμαν ἐκ δειλίας μετέβαλε
bearing the fear to wonderful boldness from cowardice changed
καὶ κειράμενος ἠγεῖτο ἐν αὐτῇ Ῥώμῃ διδασκαλείου μέχρι
and having-shaved ran in itself Rome a-school until
τῶν σπονδῶν. Οὐολούσιος δὲ ἀγορανομῶν προεγράφη καὶ
the truces Volusius and being-aedile was-proscribed and
φίλον ὀργιαστὴν τῆς Ἴσιδος ἔχων ᾔτησε τὴν στολὴν καὶ τὰς
a-friend devotee — of-Isis having asked-for the robe and the
ὀθόνας ἐνέδυ τὰς ποδήρεις καὶ τὴν τοῦ κυνὸς κεφαλὴν
linens put-on the(-ones) reaching-to-the-feet and the of-the dog head
ἐπέθετο καὶ διῆλθεν οὕτως ὀργιάζων αὐτῷ σχήματι ἐς
put-on and passed thus celebrating-the-rites in-the-very dress to
Πομπήιον. Σίττιον δὲ Καληνοί, πολίτην σφῶν ὄντα καὶ
Pompey Sittius and Calenians citizen of-them being and
πολλὰ ἐς αὐτοὺς ἐκ περιουσίας δαψιλοῦς ἀναλώσαντα,
much on them from wealth abundant having-spent
ἐφύλασσον, σιδηροφοροῦντές τε ὑπὲρ αὐτοῦ καὶ τοῖς
guarded bearing-iron both on-behalf-of him and the
οἰκέταις ἀπειλοῦντες καὶ τοὺς στρατιώτας ἀπερύκοντες
household-slaves threatening and the soldiers warding-off
ἀπὸ τῶν τειχῶν, μέχρι μαραινομένου τοῦ κακοῦ καὶ ἐς τοὺς
from the walls until waning the evil and to the
τρεῖς ἐπρέσβευσαν ὑπὲρ αὐτοῦ καὶ ἔτυχον Σίττιον τῆς
three sent-envoys on-behalf-of him and obtained(-it) Sittius from-the
ἄλλης Ἰταλίας εἰργόμενον ἐν τῇ πατρίδι μένειν. Σίττιος
rest-of Italy being-barred in the fatherland to-remain Sittius
μὲν δὴ πρῶτος ἢ μόνος ἀνδρῶν ὅδε τῆς ξένης
indeed indeed first or only of-men this(-man) from-the foreign(-land)
ἐφυγαδεύετο ἐν τῇ πατρίδι, Οὐάρρων δὲ ἦν φιλόσοφός τε
was-exiled in the fatherland Varro and was philosopher both
καὶ ἱστορίας συγγραφεύς, ἐστρατευμένος τε καλῶς καὶ
and of-history writer having-served both well and

ἐστρατηγηκώς, καὶ ἴσως διὰ ταῦτα ὡς ἐχθρὸς μοναρχίας
having-been-praetor and perhaps because-of these-things as enemy of-monarchy
προυγράφη. φιλοτιμουμένων δὲ αὐτὸν ὑποδέξασθαι τῶν
was-proscribed vying and him to-receive the
γνωρίμων καὶ διεριζόντων ἐς ἀλλήλους, Καληνὸς ἐξενίκησε
notables and contending with one-another Calenus won
καὶ εἶχεν ἐν ἐπαύλει, ἔνθα Ἀντώνιος, ὅτε διοδεύοι,
and kept(-him) in a-villa where Antony when he-passed-through
κατήγετο· καὶ τὸν Οὐάρρωνα οὐδεὶς ἔνδον ὄντα ἐνέφηνε
lodged and — Varro no-one inside being revealed
θεράπων, οὔτε αὐτοῦ Οὐάρρωνος οὔτε Καληνοῦ.
servant neither himself of-Varro nor of-Calenus
48 Οὐεργίνιος δέ, ἀνὴρ ἡδὺς εἰπεῖν, τοὺς οἰκέτας ἐδίδασκεν,
Verginius and a-man pleasant to-speak the household-slaves taught
ὅτι κτείναντες μὲν αὐτὸν δι' ὀλίγα χρήματα οὐκ ἀσφαλῆ
that having-killed indeed him for little money not safe
μύσους τε πίμπλανται καὶ φόβων ἐς ὕστερον μεγάλων,
of-pollution both they-are-filled and of-fears for later great
περισώσαντες δὲ δόξης τε εὐσεβοῦς καὶ ἐλπίδων ἀγαθῶν
having-saved(-him) but of-reputation both pious and of-hopes good
καὶ χρημάτων ὕστερον πολὺ πλεόνων τε καὶ ἀσφαλεστέρων.
and of-money later much more both and safer
οἱ μὲν δὴ συνέφευγον ὡς ὁμοδούλῳ καὶ γνωρισθέντος
they indeed indeed fled-with(-him) as with-a-fellow-slave and having-been-recognized
αὐτοῦ παρὰ τὴν ὁδὸν πρὸς τοὺς ὁπλίτας ἀπεμάχοντο· ὁ
he along the road against the soldiers fought-off he
δὲ ληφθεὶς ὑπὸ τῶν ὁπλιτῶν ἐδίδασκε κἀκείνους, ὅτι κατὰ
and caught by the soldiers taught them-too that from
μὲν ἔχθραν αὐτὸν οὐκ ἀνελοῦσιν, ἀλλὰ χρημάτων οὕνεκα
indeed enmity him not they-would-kill but money for-the-sake-of
μόνων, χρήματα δὲ αὐτοῖς εἴη δικαιότερα καὶ πλέονα
only money but for-them would-be juster and more

λαβεῖν ἐπὶ θάλασσαν ἐλθοῦσιν, "ἔνθα μοι τὸ γύναιον",
to-take to the-sea having-come where for-me the wife
ἔφη, "ναῦν φέρουσα χρημάτων συνετάξατο". καὶ αὐτῷ
he-said a-ship bringing of-money had-arranged and to-him
καὶ οἵδε πεισθέντες κατῄεσαν ἐπὶ τὴν θάλασσαν· ἡ γυνὴ
and these persuaded went-down to the sea the wife
δὲ ἀφῖκτο μὲν ἐπὶ τὴν ἠιόνα κατὰ τὸ συγκείμενον,
and had-come indeed to the shore according-to the agreement
βραδύνοντος δὲ τοῦ Οὐεργινίου, νομίσασα αὐτὸν ἐς
delaying but — Verginius having-thought him to
Πομπήιον προπεπλευκέναι ἀνήγετο, θεράποντα ὅμως ἐπὶ
Pompey to-have-sailed-ahead put-out a-servant nevertheless on
τῆς ἠιόνος ἐξαγγέλλειν ὑπολιποῦσα. καὶ ὁ θεράπων τὸν
the shore to-announce having-left-behind and the servant —
Οὐεργίνιον ἰδὼν ἀνέθορέ τε ὡς ἐς δεσπότην καὶ τὴν
Verginius having-seen leapt both as to master and the
ναῦν ἐδείκνυεν ὡς ὁρωμένην καὶ τὴν γυναῖκα ἔφραζε
ship pointed-out as being-seen and the wife told
καὶ τὰ χρήματα καὶ αὐτὸς ἐφ' ὅτῳ κατελείφθη. οἱ δὲ
and the money and himself for what he-had-been-left they and
ἐπίστευον ἅπασιν ἤδη, καὶ τὸν Οὐεργίνιον ἀξιοῦντα σφᾶς
believed all already and — Verginius asking them
περιμένειν, ἔστε μετακληθείη τὸ γύναιον, ἢ συνελθεῖν
to-wait until should-be-summoned the wife or to-go-with
οἱ πρὸς αὐτὴν ἐπὶ τὰ χρήματα, ἐσβάντες ἐς σκάφος
with-him to her for the money having-embarked into a-boat
παρέπεμπον ἐς Σικελίαν, ἐρέσσοντες φιλοπόνως· ἐκεῖ
escorted(-him) to Sicily rowing diligently there
δὲ ἔτυχόν τε τῶν ἐπαγγελιῶν καὶ οὐκ ἀπέστησαν ἔτι
and obtained both the promises and not they-left still
θεραπεύοντες αὐτὸν μέχρι τῶν σπονδῶν. Ῥέβιλον δὲ
serving him until the truces Rebilus and

ναύκληρος ἐς τὴν ναῦν ὑποδεξάμενος ὡς διοίσων ἐς
a-ship-master into the ship having-received(-him) as going-to-carry(-him) to
Σικελίαν ᾔτει χρήματα, μηνύσειν ἀπειλῶν, εἰ μὴ λάβοι.
Sicily asked money to-inform threatening if not he-should-get
ὁ δέ, οἷόν τι καὶ Θεμιστοκλῆς φεύγων ἐποίησεν,
he and such-as something also Themistocles fleeing did
ἀντηπείλει μηνύσειν, ὅτι αὐτὸν ἐπὶ χρήμασιν ἄγοι,
threatened-in-turn to-inform that him for money he-was-carrying
μέχρι δείσας ὁ ναύκληρος διέσωσεν ἐς Πομπήιον.
until having-feared the ship-master saved(-him) to Pompey

49 Μᾶρκος δὲ Βρούτῳ στρατηγῶν προεγέγραπτο μὲν
Marcus and for-Brutus being-general had-been-proscribed indeed
καὶ ὅδε διὰ τόδε, ἡττωμένου δὲ τοῦ Βρούτου
also this(-man) because-of this being-defeated and — Brutus
συλλαμβανόμενος ὑπεκρίνατο εἶναι θεράπων, καὶ αὐτὸν
being-seized he-pretended to-be a-servant and him
ὠνήσατο Βαρβούλας. δεξιὸν δὲ ὁρῶν ἐπέστησε τοῖς
bought Barbula clever and seeing(-him) set(-him)-over the
ὁμοδούλοις καὶ χρήματα διοικεῖν ἔδωκεν· δεινὸν δὲ ἐν
fellow-slaves and money to-manage gave formidable and in
ἅπασι καὶ συνετὸν ὄντα ὑπὲρ θεράποντος φύσιν ὑπενόει
all-things and intelligent being beyond a-servant's nature he-suspected
καὶ ἐπήλπιζεν, εἰ τῶν προγεγραμμένων τις εἴη,
and encouraged(-him) if of-the proscribed anyone he-were
περισώσειν ὁμολογήσαντα. ἀπομαχόμενον δὲ ἰσχυρῶς καὶ
to-be-going-to-save having-confessed fighting-off but strongly and
γένος ἀναπλάσσοντα καὶ ὄνομα καὶ προτέρους δεσπότας ἐς
family fabricating and name and former masters to
Ῥώμην ἐπήγετο, ἐλπίσας ὀκνήσειν ἐς Ῥώμην ἀφικέσθαι
Rome took(-him) having-hoped he-would-shrink to Rome to-come
προγεγραμμένον. ὁ δὲ εἵπετο καὶ ὥς. περὶ δὲ τὰς πύλας
being-proscribed he and followed even so about and the gates

τῶν ὑπαντώντων τις φίλων Βαρβούλα, θεασάμενος τὸν
of-the(-men) meeting(-them) one of-friends of-Barbula having-seen —
Μᾶρκον ὡς οἰκέτην αὐτῷ παρεστῶτα, κρύφα ἐμήνυσε
Marcus as a-household-slave by-him standing secretly informed
τῷ Βαρβούλᾳ. ὁ δὲ ἐδεήθη Καίσαρος δι' Ἀγρίππα, καὶ
— to-Barbula he and begged Caesar through Agrippa and
ἀφείθη τῆς προγραφῆς ὁ Μᾶρκος, καὶ φίλος ἐγίγνετο
was-released from-the proscription — Marcus and friend became
Καίσαρι καὶ μετ' οὐ πολὺ καὶ στρατηγὸς ἦν ἐπὶ Ἀντωνίῳ
to-Caesar and after not long also general was against Antony
περὶ Ἄκτιον. ἐστρατήγει δὲ καὶ Ἀντωνίῳ Βαρβούλας, καὶ
at Actium was-general and also for-Antony Barbula and
ἡ τύχη περιῆλθεν ἐς τὸ ὅμοιον ἀμφοτέροις· Βαρβούλας
the fortune came-round to the like for-both Barbula
τε γὰρ ἡττηθέντος Ἀντωνίου λαμβανόμενος ὑπεκρίνατο
both for having-been-defeated Antony being-taken pretended
οἰκέτης εἶναι, καὶ ὁ Μᾶρκος αὐτὸν ὡς ἀγνοῶν
a-household-slave to-be and — Marcus him as not-knowing
ὠνήσατο, ἐκθέμενος δὲ ἅπαντα τῷ Καίσαρι ᾔτησέ τε
bought having-set-out and all — to-Caesar asked both
καὶ ἔτυχε τοῖς ὁμοίοις τὸν Βαρβούλαν ἀμείψασθαι.
and obtained with-the like — Barbula to-requite
τοῖσδε μὲν οὖν ἡ συντυχία τῶν ὁμοίων καὶ ἐς τὸ ἔπειτα 50
for-these indeed then the coincidence of-the likes even into the afterward
παρέμεινεν· ἦρξαν γὰρ τὴν ἐπώνυμον ἀρχὴν ἐν ἄστει οἱ δύο
remained held for the eponymous office in city the two
ὁμοῦ· Βαλβίνῳ δέ, ἐκφυγόντι καὶ κατελθόντι σὺν Πομπηίῳ
together for-Balbinus and having-escaped and having-returned with Pompey
καὶ ὑπατεύοντι οὐ πολὺ ὕστερον, Λέπιδος ἰδιώτης ὑπὸ
and being-consul not long later Lepidus a-private-man by
Καίσαρος ἐκ δυνάστου γενόμενος ὑπὸ τοιᾶσδε ἀνάγκης
Caesar from ruler having-become from such necessity

παρέστη. Μαικήνας ἐδίωκε τὸν Λεπίδου παῖδα βουλεύσεως
stood-by Maecenas prosecuted the of-Lepidus son for-plotting
ἐπὶ Καίσαρι, ἐδίωκε δὲ καὶ τὴν μητέρα τῷ παιδὶ
against Caesar prosecuted and also the mother with-the son
συνεγνωκέναι· Λεπίδου γὰρ αὐτοῦ ἄρα ὡς ἀσθενοῦς
to-have-been-privy of-Lepidus for himself then as weak
ὑπερεώρα. τὸν μὲν δὴ παῖδα ὁ Μαικήνας ἐς Ἄκτιον
he-disregarded the indeed indeed son — Maecenas to Actium
ἔπεμπε τῷ Καίσαρι, τὴν δὲ μητέρα, ἵνα μὴ ἄγοιτο
sent — to-Caesar the and mother so-that not she-should-be-taken
οὖσα γυνή, ἐγγύην ᾔτει παρὰ τῷ ὑπάτῳ πρὸς Καίσαρα
being a-woman surety he-asked before the consul to Caesar
ἀφίξεσθαι. οὐδενὸς δὲ τὴν ἐγγύην ὑφισταμένου, ὁ Λέπιδος
to-be-going-to-come no-one and the surety undertaking — Lepidus
ἀμφὶ τὰς Βαλβίνου θύρας ἐτρίβετο πολλάκις καὶ δικάζοντι
around the of-Balbinus doors wore-himself often and judging
παρίστατο καὶ διωθουμένων αὐτὸν ἐς πολὺ τῶν ὑπηρετῶν
stood-by(-him) and thrusting him for long the attendants
μόλις εἶπεν· "ἐμοὶ μὲν καὶ οἱ κατήγοροι μαρτυροῦσιν
with-difficulty said to-me indeed even the accusers bear-witness
ἐπιείκειαν, οὐδὲ γυναικί με ἢ παιδὶ συγγνῶναι λέγοντες·
reasonableness not-even with-wife me or son to-have-been-privy saying
σὲ δὲ οὐκ ἐγὼ μὲν προέγραψα, κάτω δέ εἰμι τῶν
you but not I indeed proscribed below and am of-the
προγραφέντων. ἀλλ' ἐς τὴν ἀνθρώπειον τύχην ἀφορῶν καὶ ἐς
proscribed but at the human fortune looking also at
ἐμὲ σοὶ παρεστῶτα, χάρισαί μοι τὴν γυναῖκα ἀπαντήσειν
me to-you standing-by grant me the wife to-be-going-to-come
ἐς Καίσαρα ἐγγυωμένῳ ἢ μετ' ἐκείνης ἀπελθεῖν δεομένῳ".
to Caesar for-(me)-giving-surety or with her to-go asking

ταῦτα ἔτι τοῦ Λεπίδου λέγοντος, οὐκ ἐνεγκὼν τὴν
these-things still — Lepidus saying not bearing the
μεταβολὴν ὁ Βαλβῖνος ἀπέλυσε τῆς ἐγγύης τὴν γυναῖκα.
change — Balbinus released from-the surety the wife
Κικέρων δὲ ὁ Κικέρωνος προαπέσταλτο μὲν ὑπὸ 51
Cicero and the(-son) of-Cicero had-been-sent-ahead indeed by
τοῦ πατρὸς ἐς τὴν Ἑλλάδα, τοιάδε ἔσεσθαι
the father to — Greece such(-things) to-be-going-to-happen
προσδοκῶντος· ἀπὸ δὲ τῆς Ἑλλάδος ἐς Βροῦτον καὶ μετὰ
expecting from and — Greece to Brutus and after
Βροῦτον ἀποθανόντα ἐς Πομπήιον ἐλθὼν τιμῆς παρ᾽
Brutus having-died to Pompey having-come of-honor with
ἑκατέρῳ καὶ στρατηγίας ἠξιοῦτο. ἐπὶ δὲ ἐκείνοις αὐτὸν
each and of-command was-thought-worthy after and those him
ὁ Καῖσαρ ἐς ἀπολογίαν τῆς Κικέρωνος ἐκδόσεως ἱερέα
— Caesar for apology of-the of-Cicero surrender priest
τε εὐθὺς ἀπέφηνε καὶ ὕπατον οὐ πολὺ ὕστερον καὶ Συρίας
both at-once appointed and consul not long later and of-Syria
στρατηγόν· καὶ τὴν Ἀντωνίου περὶ Ἄκτιον συμφορὰν
governor and the of-Antony at Actium disaster
ἐπισταλεῖσαν ὑπὸ τοῦ Καίσαρος ὁ Κικέρων ὅδε
sent-by-letter by — Caesar — Cicero this(-man)
ὑπατεύων ἀνέγνω τε τῷ δήμῳ καὶ προύθηκεν ἐπὶ τοῦ
being-consul read both to-the people and posted on the
βήματος, ἔνθα πρότερον ἡ τοῦ πατρὸς αὐτοῦ προύκειτο
rostra where earlier the of-the father of-him had-been-posted
κεφαλή. Ἄππιος δὲ διένειμε τοῖς θεράπουσιν τὰ ὄντα καὶ
head Appius and distributed to-the servants the property and
μετ᾽ αὐτῶν ἐς Σικελίαν ἔπλει. χειμῶνος δὲ ἐπιλαβόντος
with them to Sicily sailed a-storm and having-come-on
ἐπιβουλεύοντες οἱ θεράποντες τοῖς χρήμασιν ἐς σκάφος
plotting the servants against-the money into a-boat

ἐνέθεντο τὸν Ἄππιον, ὡς ἐς ἀσφαλεστέραν ἐλπίδα
put — Appius as to safer hope
μεταφέροντες. καὶ συνέβη τῷ μὲν ἐκ παραλόγου
transferring(-him) and it-happened for-him indeed beyond expectation
διαπλεῦσαι, τοῖς δὲ ἀπολέσθαι τῆς νεὼς διαλυθείσης.
to-sail-across for-them but to-perish the ship having-broken-up
Πούπλιος δὲ ὁ ταμίας Βρούτου, τῶν ἀμφὶ τὸν Ἀντώνιον
Publius and the quaestor of-Brutus the(-men) around — Antony
αὐτὸν πειθόντων προδοῦναι Βροῦτον οὐκ ἀνασχόμενος,
him persuading to-betray Brutus not having-consented
διὰ τόδε καὶ προεγράφη καὶ κατήχθη καὶ Καίσαρι φίλος
because-of this also was-proscribed and was-restored and to-Caesar friend
ἐγίγνετο καὶ ἐπιόντι ποτὲ τῷ Καίσαρι προύθηκεν εἰκόνας
became and coming once — to-Caesar displayed images
Βρούτου καὶ ἐπηνέθη καὶ ἐπὶ τῷδε ὑπὸ τοῦ Καίσαρος.
of-Brutus and was-praised also for this by — Caesar

VII · WAR IN AFRICA

Beyond Rome the wars of the time are told in brief, beginning with Africa: Sextius, governing the new province for Octavian, fights Cornificius, who holds the old one for the senate. Helped by Arabio and the Sittians, Sextius defeats Ventidius and draws Laelius from the siege of Cirta; near Utica Arabio's men take Cornificius' camp, Arabio's horsemen kill Cornificius, and Laelius, watching from the hill, kills himself. Sextius rewards his allies and pardons the cities.

52 τὰ μὲν δὴ παρὰ δόξαν τισὶ τῶν προγραφέντων εἴς
the(-things) indeed indeed beyond expectation to-some of-the proscribed to
τε κίνδυνον καὶ σωτηρίαν γενόμενα, πολλὰ καὶ ἄλλα
both danger and safety having-happened many and other(-things)
παραλιπόντι τοιάδε μάλιστα ἦν· γιγνομένων δὲ τούτων ἐν
for-(me)-omitting such most were happening and these-things in

Ῥώμῃ, καὶ τὰ ὑπερόρια πάντα πολέμοις διὰ τήνδε
Rome also the(-things) beyond-the-borders all with-wars because-of this
τὴν στάσιν ἐδονεῖτο· καὶ τῶν πολέμων οἱ μείζους ἦσαν
the faction were-shaken and of-the wars the greater were
ἀμφί τε Λιβύην Κορνιφικίου πρὸς Σέξστιον καὶ ἐν Συρίᾳ
around both Libya of-Cornificius against Sextius and in Syria
Κασσίου πρὸς Δολοβέλλαν καὶ περὶ Σικελίαν Πομπηίου.
of-Cassius against Dolabella and about Sicily of-Pompey
πάθη τε πολλὰ συνηνέχθη πόλεσιν ἐκ δοριαλωσίας,
sufferings both many befell cities from capture
ὑπεριδόντι δὲ τῶν ἐλασσόνων τὰ μέγιστα δὴ καὶ δι᾽
for-(me)-passing-over and the lesser(-ones) the greatest indeed and because-of
ἀξίωσιν τῶν ἄλλων περιφανέστατα Λαοδικεῦσι καὶ Ταρσεῦσι
rank of-the others most-conspicuous for-Laodiceans and for-Tarsians
καὶ Ῥοδίοις καὶ Παταρεῦσι καὶ Ξανθίοις. καὶ αὐτῶν
and for-Rhodians and for-Patareans and for-Xanthians and of-them
ἕκαστα, ὡς ἐν κεφαλαίῳ συναγαγόντι φράσαι, τοιάδε ἦν.
each(-thing) as in summary for-(me)-collecting to-tell such were
Λιβύης Ῥωμαῖοι τὴν μὲν ἔτι καλοῦσι παλαιάν, ὅσην 53
of-Libya Romans the(-part) indeed still call old as-much-as
Καρχηδονίους ἀφείλοντο· ἣν δὲ Ἰόβας εἶχεν, ὕστερόν
Carthaginians they-took-away which and Juba held later
τε ἔλαβον ἐπὶ Γαΐου Καίσαρος καὶ διὰ τοῦτο νέαν
both they-took under Gaius Caesar and because-of this new
προσαγορεύουσι Λιβύην· εἴη δ᾽ ἂν τῆς Νομαδικῆς.
they-call Libya would-be and — of-the Numidian(-land)
Σέξστιος οὖν ὑπὸ Καίσαρι τῆς νέας ἡγούμενος ᾔτει
Sextius then under Caesar the new governing asked
Κορνιφίκιον ἐκστῆναί οἱ τῆς παλαιᾶς, ὡς Λιβύης
Cornificius to-withdraw for-him from-the old as Libya
ἁπάσης ἐν τῇ λήξει τῶν τριῶν ἀνδρῶν Καίσαρι
all in the allotment of-the three men to-Caesar

νενεμημένης. ὁ δὲ οὔτε τὴν λῆξιν ἔφη γιγνώσκειν τῶν
having-been-assigned he and neither the allotment said to-recognize of-the
τριῶν ἐφ᾽ ἑαυτῶν πεποιημένων, οὔτε τὴν ἀρχὴν παρὰ τῆς
three by themselves having-made(-it) nor the office from the
βουλῆς λαβὼν ἄλλῳ μεθήσειν χωρὶς αὐτῆς. ἐκ
senate having-received to-another to-be-going-to-give-up without it from
μὲν δὴ τούτων ἀλλήλοις ἐπολέμουν, στρατὸν δὲ εἶχεν
indeed indeed these-things one-another they-warred army and had
ὁ μὲν βαρύν τε καὶ πλείονα, ὁ δὲ Σέξστιος
the(-one) indeed heavy both and larger the(-other) and Sextius
κουφότερόν τε καὶ ὀλιγώτερον, ᾧ δὴ καὶ τὰ
lighter both and fewer with-which indeed also the
μεσόγαια τοῦ Κορνιφικίου περιὼν ἀφίστη καὶ Οὐεντίδιον,
interior — of-Cornificius going-round detached and Ventidius
στρατηγὸν τοῦ Κορνιφικίου, μετὰ πλειόνων ἐπελθόντα
general — of-Cornificius with more having-come-up
ἀπεμάχετο πολιορκούμενος. ἐδῄου δὲ καὶ Λαίλιος, ἕτερος
fought-off being-besieged ravaged and also Laelius another
τοῦ Κορνιφικίου στρατηγός, τὴν Σεξστίου Λιβύην καὶ
— of-Cornificius general the of-Sextius Libya and
Κίρταν περικαθήμενος ἐπολιόρκει.
Cirta investing besieged

54 καὶ πάντες ἐπρέσβευον περὶ συμμαχίας ἔς τε Ἀραβίωνα
and all sent-envoys about alliance to both Arabio
βασιλέα καὶ τοὺς καλουμένους Σιττιανούς, οἳ ἀπὸ τοιᾶσδε
king and the called Sittians who from such
συντυχίας οὕτως ὠνομάζοντο. Σίττιος ἐν Ῥώμῃ δίκην
chance thus were-named Sittius in Rome a-suit
ἰδίαν οὐχ ὑποστὰς ἔφυγε καὶ στρατὸν ἀγείρας ἔκ
private not having-faced fled and army having-gathered from
τε αὐτῆς Ἰταλίας καὶ Ἰβηρίας ἐς Λιβύην διέπλευσε καὶ
both itself Italy and Iberia to Libya crossed and

τοῖς Λιβύων βασιλεῦσι πολεμοῦσιν ἀλλήλοις ἀνὰ μέρος
to-the of-Libyans kings warring with-one-another by turn
συνεμάχει. ἀεὶ δὲ οἷς προσθοῖτο νικώντων, ὁ Σίττιος
was-ally always and those-whom he-should-join conquering — Sittius
ἐπὶ ὀνόματος ἐγίγνετο, καὶ ὁ στρατὸς αὐτῷ γεγύμναστο
into name came and the army to-him had-been-trained
λαμπρῶς. Γαΐῳ τε Καίσαρι διώκοντι τοὺς Πομπηιανοὺς
brilliantly to-Gaius both Caesar pursuing the Pompeians
ἐν Λιβύῃ συνεμάχησε, καὶ Σαβόρραν, Ἰόβα στρατηγὸν
in Libya he-was-ally and Saburra of-Juba general
διώνυμον, ἀνεῖλε καὶ γέρας τούτων ἔλαβε παρὰ Καίσαρος
renowned killed and reward of-these received from Caesar
τὴν Μασανάσσου γῆν, οὐχ ἅπασαν, ἀλλὰ τὸ κράτιστον
the of-Masinissa land not all but the best
αὐτῆς. Μασανάσσης δ' ἦν Ἀραβίωνος τοῦδε πατήρ, Ἰόβα
of-it Masinissa and was of-Arabio this(-one) father of-Juba
σύμμαχος, καὶ αὐτοῦ τὴν χώραν ὁ Καῖσαρ τῷδε τῷ Σιττίῳ
ally and of-him the country — Caesar to-this — Sittius
καὶ Βόκχῳ, Μαυρουσίων βασιλεῖ, δεδώρητο· καὶ τὸ μέρος ὁ
and to-Bocchus of-Moors king had-given and the share —
Σίττιος τοῖς ὑπ' αὐτὸν ἀνδράσιν ἐπιδιεῖλεν. Ἀραβίων δὲ τότε
Sittius to-the under him men divided Arabio and then
μὲν ἐς Ἰβηρίαν ἐξέφυγε πρὸς τοὺς παῖδας τοὺς Πομπηίου,
indeed to Iberia escaped to the sons the(-sons) of-Pompey
Γαΐου δὲ Καίσαρος ἀναιρεθέντος ἐς Λιβύην ἐπανῆλθε
of-Gaius and Caesar having-been-killed to Libya returned
καὶ Λιβύων τινὰς ἀεὶ τῷ νεωτέρῳ Πομπηίῳ πέμπων
and of-Libyans some always to-the younger Pompey sending
ἐς Ἰβηρίαν καὶ γεγυμνασμένους ἀπολαμβάνων Βόκχον
to Iberia and trained receiving-back from-Bocchus
ἀφῄρητο τὴν χώραν καὶ Σίττιον ἀνῃρήκει δόλῳ. εὔνους δὲ
took-away the country and Sittius had-killed by-guile well-disposed and

ὢν τοῖς Πομπηιανοῖς διὰ τάδε, κατεγίνωσκεν ἀεὶ τῆς
being to-the Pompeians because-of these-things condemned always the
μοίρας ὡς ἀτυχούσης ἀμειλίκτως καὶ Σεξτίῳ προσέθετο,
party as unfortunate implacably and Sextius joined
εὐμενιζόμενος δι' αὐτοῦ Καίσαρα. προσέθεντο δὲ καὶ
conciliating through him Caesar joined and also
οἱ Σιττιανοί, κατ' εὔνοιαν οἵδε πατρῴαν τοῦ Καίσαρος.
the Sittians from goodwill these paternal — of-Caesar
55 θαρρήσας οὖν ὁ Σέξστιος ἐξῄει τῆς πολιορκίας ἐς
having-taken-courage then — Sextius went-out of-the siege to
μάχην καὶ πεσόντος τοῦ Οὐεντιδίου καὶ τοῦ στρατοῦ
battle and having-fallen — Ventidius and the army
φεύγοντος ὑπ' ἀναρχίας, εἵπετο κτείνων τε καὶ ζωγρῶν.
fleeing for lack-of-command he-followed killing both and capturing
καὶ τάδε μαθὼν ὁ Λαίλιος διέλυε τὴν τῆς Κίρτης
and these-things having-learned — Laelius broke-off the — of-Cirta
πολιορκίαν καὶ ἐχώρει πρὸς τὸν Κορνιφίκιον. ὁ δὲ
siege and went to — Cornificius — and
Σέξστιος ἐπαιρόμενος τοῖς γεγονόσιν ἐπ' αὐτὸν
Sextius elated by-the(-things) having-happened against him
ἤδη τὸν Κορνιφίκιον ἐς Ἰτύκην ἦει καὶ ἀντεστρατοπέδευε
already — Cornificius to Utica went and encamped-opposite
μετὰ πλειόνων ὄντι. Λαίλιον δὲ τοῦ Κορνιφικίου μετὰ
with more being(-him) Laelius and — Cornificius with
τῶν ἱππέων πέμψαντος ἔς τινα κατάσκεψιν, ὁ Σέξστιος
the cavalry having-sent for some reconnaissance — Sextius
Ἀραβίωνα ἔπεμψεν ἱππομαχεῖν τῷ Λαιλίῳ κατὰ μέτωπον
Arabio sent to-fight-on-horse — with-Laelius in front
καὶ αὐτὸς ἦει μετὰ τῶν εὐζώνων ἐς τὰ πλάγια τῆς
and himself went with the light-armed to the flanks of-the
ἱππομαχίας καὶ ἐμβαλὼν ἐθορύβει, μέχρι τὸν Λαίλιον
cavalry-battle and having-charged threw-into-confusion until — Laelius

οὐχ ἡσσημένον πω δεῖσαι περὶ τῆς ἀναχωρήσεως, μὴ
not defeated yet to-fear about the retreat lest
ἀποκλεισθείη, καὶ λόφον ἐν μέσῳ καταλαβεῖν, Ἀραβίωνα
he-be-cut-off and a-hill in middle to-seize Arabio
δὲ ἀρτώμενον αὐτοῦ κτεῖναί τε πολλοὺς καὶ τὸν λόφον
and hanging-on him to-kill both many and the hill
περικυκλῶσαι. ὁρῶν δὲ ταῦτα ὁ Κορνιφίκιος ἐξῄει τῷ
to-surround seeing and these-things — Cornificius went-out with-the
πλέονι στρατῷ, βοηθήσων τῷ Λαιλίῳ· καὶ τοῦδε μὲν ὁ
greater army going-to-help — Laelius and of-this indeed —
Σέξστιος ὄπισθεν γενόμενος ἐξῄπτετο συντρέχων, καὶ αὐτὸν
Sextius behind having-got attacked running-up and him
ἐπιστρεφόμενος ὁ Κορνιφίκιος ἀπεμάχετο μάλα κακοπαθῶς.
turning — Cornificius fought-off very wretchedly
ὁ δὲ Ἀραβίων ἐν τούτῳ πετροβάταις ἀνδράσιν ἀνέρπουσι 56
— and Arabio in this with-rock-walking men creeping-up
διὰ κρημνῶν ἐς τὸ στρατόπεδον τοῦ Κορνιφικίου
through cliffs into the camp — of-Cornificius
παρέδυ λαθών. καὶ Ῥώσκιος μὲν ὁ φύλαξ, τοῦ χάρακος
slipped unnoticed and Roscius indeed the guard of-the palisade
ἁλισκομένου, τῶν ὑπασπιστῶν τινι τὴν σφαγὴν ὑπέσχε
being-taken of-the shield-bearers to-one the throat offered
καὶ ἀνῃρέθη, ὁ δὲ Κορνιφίκιος τῇ μάχῃ κάμνων
and was-killed — and Cornificius in-the battle tiring
μετεπήδα πρὸς Λαίλιον ἐς τὸν κολωνόν, οὐκ εἰδώς πω
was-leaping-across to Laelius to the knoll not knowing yet
περὶ τοῦ στρατοπέδου· μεταπηδῶντα δ' αὐτὸν οἱ τοῦ
about the camp leaping-across and him the —
Ἀραβίωνος ἱππεῖς ἐπιδραμόντες ἔκτειναν. καὶ γιγνόμενα
of-Arabio horsemen having-ridden-up killed and happening
ταῦτα ὁ Λαίλιος ἀπὸ τοῦ λόφου καθορῶν ἑαυτὸν
these-things — Laelius from the hill watching himself

διεχρήσατο. τῶν δ' ἀρχόντων πεσόντων ὁ στρατὸς κατὰ
made-away-with of-the and leaders having-fallen the army by
μέρη διέφυγεν· καὶ ὅσοι τῶν προγεγραμμένων ἦσαν
parts fled and as-many-as of-the proscribed were
παρὰ τῷ Κορνιφικίῳ, οἱ μὲν ἐς Σικελίαν διέπλεον, οἱ
with — Cornificius some indeed to Sicily sailed others
δ' ὅπῃ δύναιντο ἕκαστος. ὁ δὲ Σέξστιος Ἀραβίωνα
and wherever could each — and Sextius Arabio
μὲν καὶ τοὺς Σιττιανοὺς ἐδωρεῖτο πολλοῖς λαφύροις, τὰς
indeed and the Sittians rewarded with-much booty the
δὲ πόλεις τῷ Καίσαρι καθίστατο, συγγινώσκων ἁπάσαις.
and cities — to-Caesar settled pardoning all

VIII · CASSIUS AND DOLABELLA

After the Ides Brutus and Cassius left Rome; the senate later restored their commands. Cassius takes over the Syrian legions and besieges Dolabella in Laodicea, defeating his fleet; Dolabella has his guard behead him. Cassius plunders Laodicea, prepares to invade Egypt, but is recalled by Brutus. He exacts fifteen hundred talents from Tarsus, which sells its free people before he relents.

57 τοῦτο μὲν δὴ τέλος ἦν τῷ περὶ Λιβύην Σεξστίου καὶ
this indeed indeed end was to-the about Libya of-Sextius and
Κορνιφικίου πολέμῳ, βραχεῖ διὰ ταχυεργίαν δόξαντι
of-Cornificius war short because-of speed having-seemed
εἶναι· τὰ δ' ἀμφὶ Κάσσιόν τε καὶ Βροῦτον, μικρὰ
to-be the(-affairs) and around Cassius both and Brutus small(-things)
καὶ τῶν εἰρημένων ἀναλαβόντι ἐς ὑπόμνημα, ἦν
also of-the(-things) said for-(me)-resuming for reminder were
τοιάδε. ἐπειδὴ Γάιος Καῖσαρ ἀνῄρητο, οἱ μὲν σφαγεῖς
such when Gaius Caesar had-been-killed the indeed slayers

αὐτοῦ τὸ Καπιτώλιον κατέλαβον καὶ ψηφισθείσης αὐτοῖς
of-him — Capitol seized and having-been-voted for-them
ἀμνηστίας κατέβησαν. ὁ δὲ δῆμος ἐπὶ τῇ ἐκκομιδῇ τοῦ
amnesty came-down the and people at the carrying-out of-the
σώματος ἐν οἴκτῳ Καίσαρος γενόμενος ἐζήτει τοὺς φονέας
body in pity of-Caesar having-become sought the murderers
περιθέων. οἱ δὲ τότε μὲν ἠμύνοντο αὐτοὺς ἀπὸ
running-about they and then indeed defended-themselves-against them from
τῶν τεγῶν, εὐθὺς δὲ ἐξῄεσαν αὐτῶν, ὅσοι στρατηγεῖν
the roofs at-once and went-out of-them as-many-as to-govern
ἐθνῶν ὑπὸ Καίσαρος αὐτοῦ κεχειροτόνηντο. Κάσσιος δὲ
provinces by Caesar himself had-been-elected Cassius and
καὶ Βροῦτος ἐστρατήγουν μὲν ἔτι τῆς πόλεως, ᾑρηντο
and Brutus were-praetors indeed still of-the city had-been-chosen
δὲ ἐπὶ τῇ στρατηγίᾳ καὶ οἵδε ὑπὸ Γαΐου Καίσαρος ἡγεῖσθαι
and for the praetorship also these by Gaius Caesar to-govern
Συρίας μὲν ὁ Κάσσιος, Μακεδονίας δὲ ὁ Βροῦτος. οὔτε δὲ
of-Syria indeed — Cassius of-Macedonia and — Brutus neither and
ἄρχειν πω τῶν ἐθνῶν πρὸ τοῦ χρόνου δυνάμενοι οὔτε τὸν
to-rule yet the provinces before the time being-able nor the
ἐν ἄστει φόβον ὑπομένοντες ἐξῄεσαν ἔτι στρατηγοῦντες· καὶ
in city fear enduring went-out still being-praetors and
αὐτοῖς ἐς εὐπρέπειαν ἡ βουλὴ σίτου φροντίσαι προσέταξεν,
to-them for appearance the senate of-grain to-take-care ordered
ἵνα μὴ τὸ ἐν μέσῳ διάστημα φεύγειν νομίζοιντο.
so-that not the in middle interval to-be-fleeing they-might-be-thought
οἰχομένων δὲ αὐτῶν Συρία μὲν καὶ Μακεδονία εἰς τοὺς
having-gone and them Syria indeed and Macedonia to the
ὑπάτους Ἀντώνιόν τε καὶ Δολοβέλλαν μετεψηφίζετο, τῆς
consuls Antony both and Dolabella were-transferred-by-vote the
βουλῆς πάνυ δυσχεραινούσης, ἀντεδόθη δὲ ὅμως
senate very being-vexed was-given-in-exchange but nevertheless

τοῖς ἀμφὶ τὸν Κάσσιον Κυρήνη τε καὶ Κρήτη· ὧν
to-the(-men) around — Cassius Cyrene both and Crete which
ὑπεριδόντες ὡς βραχυτέρων ἐκεῖνοι στρατὸν καὶ χρήματα
having-disdained as lesser those army and money
ἤγειρον ὡς ἐς Συρίαν καὶ Μακεδονίαν ἐσβαλοῦντες.
gathered as to Syria and Macedonia going-to-invade
58 καὶ οἱ μὲν ἦσαν ἐν τούτοις, Τρεβώνιον δὲ ἐν Ἀσίᾳ
and they indeed were in these(-things) Trebonius and in Asia
κτείναντος Δολοβέλλα καὶ Δέκμον Ἀντωνίου πολιορκοῦντος
having-killed Dolabella and Decimus Antony besieging
ἐν Κελτοῖς, χαλεπαίνουσα ἡ βουλὴ Δολοβέλλαν μὲν
among Gauls being-vexed the senate Dolabella indeed
καὶ Ἀντώνιον ἐψηφίσαντο εἶναι πολεμίους, Βροῦτον δὲ καὶ
and Antony voted to-be enemies Brutus and and
Κάσσιον ἐς τὰς προτέρας ἡγεμονίας ἐπανήγαγον καὶ Βρούτῳ
Cassius to the former commands restored and to-Brutus
τὴν Ἰλλυρίδα προσέθεσαν τοῖς τε ἄλλοις πᾶσιν ἐκέλευσαν,
— Illyricum added to-the both others all ordered
ὅσοι Ῥωμαίοις ἡγεμονεύουσιν ἐθνῶν ἢ στρατοπέδων ἀπὸ
as-many-as for-Romans govern provinces or camps from
τοῦ Ἰονίου μέχρι Συρίας, ὑπακούειν, ἐς ὅ τι κελεύοι
the Ionian as-far-as Syria to-obey in what (thing) might-order
Κάσσιος ἢ Βροῦτος. ἐπὶ δὲ τούτοις Κάσσιος φθάνει
Cassius or Brutus upon and these Cassius anticipates
Δολοβέλλαν ἐς τὴν Συρίαν ἐμβαλὼν καὶ σημεῖα τῆς
Dolabella into — Syria having-invaded and insignia of-the
ἡγεμονίας ἀνέσχε καὶ δυώδεκα τέλη στρατοῦ Γαΐῳ Καίσαρι
command raised and twelve legions of-army for-Gaius Caesar
ἐκ πολλοῦ στρατευόμενα καὶ γεγυμνασμένα προσέλαβεν
from long serving and trained took-over
ἀθρόως· οὗ τὸ μὲν ἓν αὐτῶν ὁ Καῖσαρ ἐν Συρίᾳ
all-at-once of-which the indeed one of-them — Caesar in Syria

καταλελοίπει, τὰ ἐς Παρθυαίους ἤδη διανοούμενος,
had-left the(-war) against Parthians already intending
τὴν δὲ ἐπιμέλειαν αὐτοῦ ἐπιτέτραπτο μὲν Καικίλιος
the and charge of-it had-been-entrusted indeed Caecilius
Βάσσος, τὸ δὲ ἀξίωμα εἶχε νεανίας αὐτοῦ Καίσαρος
Bassus the but rank held a-young-man himself of-Caesar
συγγενής, Σέξστος Ἰούλιος. ἐκδιαιτώμενος δὲ ὁ Ἰούλιος τὸ
kinsman Sextus Julius living-dissolutely and — Julius the
τέλος ἐς τρυφὴν ἐπήγετο ἀσχημόνως καὶ ἐπιμεμφομένῳ
legion into luxury led-about disgracefully and reproaching
τῷ Βάσσῳ ποτὲ ἐνύβρισε· καὶ καλῶν ὕστερον, ἐπειδὴ
— to-Bassus once he-insulted and calling(-him) later when
βραδέως ὑπήκουεν, ἄγειν αὐτὸν ἐκέλευεν ἕλκοντας. θορύβου
slowly he-obeyed to-bring him ordered dragging uproar
δὲ ἀσχήμονος καὶ πληγῶν ἐς τὸν Βάσσον γενομένων οὐκ
and unseemly and blows on — Bassus having-arisen not
ἐνεγκοῦσα τὴν ὄψιν ἡ στρατιὰ τὸν Ἰούλιον συνηκόντισε.
having-borne the sight the army — Julius shot-down-together
καὶ εὐθὺς ἦν μετάνοια καὶ δέος ἐκ τοῦ Καίσαρος.
and at-once there-was repentance and fear of — Caesar
συνομόσαντες οὖν ἀλλήλοις, εἰ μή τις αὐτοῖς συγγνώμη
having-sworn-together then with-one-another if not some to-them pardon
καὶ πίστις γένοιτο, διαγωνιεῖσθαι μέχρι θανάτου, τὸν
and pledge should-be to-fight-it-out until death —
Βάσσον ἐς ταῦτα συνηνάγκασαν. τέλος δὲ στρατεύσαντες
Bassus to these-things they-compelled legion and having-enlisted
ἕτερον, συνεγύμναζον ἄμφω καὶ Στάιον Μοῦρκον, ὑπὸ
another they-trained both and Staius Murcus by
Καίσαρος αὐτοῖς σὺν τρισὶ τέλεσιν ἐπιπεμφθέντα,
Caesar against-them with three legions sent
γενναίως ἀπεμάχοντο. Μούρκῳ δ' ἦκεν ἐπίκουρος Μάρκιος
nobly fought-off to-Murcus and came as-helper Marcius

Κρίσπος ἐκ Βιθυνίας μετὰ τριῶν τελῶν ἄλλων, καὶ τὸν
Crispus from Bithynia with three legions other and —
Βάσσον ἐπολιόρκουν ὁμοῦ πάντες ἓξ τέλεσιν ἤδη.
Bassus besieged together all with-six legions already
59 Κάσσιος οὖν τήνδε τὴν πολιορκίαν σπουδῇ καταλαβὼν τόν
Cassius then this the siege with-haste having-reached the
τε τοῦ Βάσσου στρατὸν αὐτίκα παρελάμβανεν ἑκόντα καὶ
both — of-Bassus army at-once took-over willing and
ἐπ᾽ ἐκείνῳ τὰ Μούρκου τέλη καὶ Μαρκίου, κατά τε φιλίαν
after it the of-Murcus legions and of-Marcius by both friendship
αὐτῷ παραδιδόντων καὶ κατὰ τὸ δόγμα τῆς βουλῆς ἐς
to-him handing-over and by the decree of-the senate in
πάντα ὑπακουόντων. ἄρτι δὲ καὶ Ἀλλιηνός, ὑπὸ Δολοβέλλα
everything obeying just-now and also Allienus by Dolabella
πεμφθεὶς ἐς Αἴγυπτον, ἐπανῆγεν ἐξ αὐτῆς τέσσαρα
sent to Egypt was-bringing-back from it four
τέλη τῶν ἀπὸ τῆς ἥσσης Πομπηίου τε καὶ Κράσσου
legions of-the(-men) from the defeat of-Pompey both and of-Crassus
διαρριφέντων ἢ ὑπὸ Καίσαρος Κλεοπάτρᾳ καταλελειμμένων·
scattered or by Caesar to-Cleopatra left
καὶ αὐτὸν ὁ Κάσσιος ἐν τῇ Παλαιστίνῃ, τῶν ὄντων
and him — Cassius in — Palestine of-the(-things) being
οὐ προπεπυσμένον, ἄφνω περιέλαβέ τε καὶ ἠνάγκασε
not having-learned-beforehand suddenly surrounded both and compelled
προσθέσθαι οἱ καὶ παραδοῦναι τὸν στρατόν, δείσαντα
to-join him and to-hand-over the army fearing
τέσσαρσι τέλεσι μάχεσθαι πρὸς ὀκτώ. οὕτω μὲν ὁ Κάσσιος
with-four legions to-fight against eight thus indeed — Cassius
ἐκ παραδόξου δυώδεκα τελῶν ἀρίστων ἀθρόως ἐκράτει.
from unexpectedness of-twelve legions best all-at-once was-master
καὶ αὐτῷ τινες καὶ Παρθυαίων ἱπποτοξόται συνεμάχουν,
and to-him some also of-Parthians mounted-archers were-allies

δόξαν ἔχοντι παρὰ τοῖς Παρθυαίοις, ἐξ οὗ Κράσσῳ
reputation having among the Parthians from when for-Crassus
ταμιεύων ἐμφρονέστερος ἔδοξε τοῦ Κράσσου γενέσθαι.
being-quaestor wiser he-seemed — than-Crassus to-have-been
Δολοβέλλας δὲ διέτριψε μὲν περὶ τὴν Ἰωνίαν, κτείνων
Dolabella and spent-time indeed around — Ionia killing
Τρεβώνιον καὶ ταῖς πόλεσιν ἐπιβάλλων ἐσφορὰς καὶ
Trebonius and on-the cities imposing levies and
ναυτικὸν ἀγείρων ἐπὶ μισθῷ διὰ Λευκίου Φίγλου παρά τε
a-fleet gathering for pay through Lucius Figulus from both
Ῥοδίων καὶ Λυκίων καὶ Παμφύλων καὶ ἐκ Κιλικίας· ὡς
Rhodians and Lycians and Pamphylians and from Cilicia when
δέ οἱ τάδε ἕτοιμα ἦν· ἐπῄει τῇ Συρίᾳ, κατὰ μὲν
and to-him these-things ready were he-advanced-on — Syria by indeed
τὴν γῆν αὐτὸς μετὰ δύο τελῶν, διὰ δὲ τῆς θαλάσσης ὁ
the land himself with two legions by and the sea —
Φίγλος. πυθόμενος δὲ τῆς Κασσίου στρατιᾶς ἐς Λαοδίκειαν
Figulus having-learned and of-the of-Cassius army to Laodicea
οἰκείως ἔχουσάν οἱ παρῆλθεν, ἐπί τε χερρονήσου
well-disposed being to-him he-went on both a-peninsula
συνῳκισμένην καὶ τὰ ἐκ τῆς γῆς ὠχυρωμένην καὶ
founded and the(-parts) from the land fortified and
ἐς τὸ πέλαγος ἔχουσαν ὅρμον, ὅθεν ἔμελλεν εὐπορήσειν
to the sea having a-harbor whence he-was-going to-be-supplied
τε ἀγορᾶς ἀπὸ θαλάσσης καὶ ἀδεῶς, ὅτε βούλοιτο,
both with-provisions from sea and fearlessly when he-wished
ἀποπλευσεῖσθαι. ὧν αἰσθανόμενος ὁ Κάσσιος καὶ δεδιώς,
to-sail-away which perceiving — Cassius and fearing
μὴ αὐτὸν ὁ Δολοβέλλας διαφύγοι, τόν τε ἰσθμὸν ἔχου
lest him — Dolabella should-escape the both isthmus was-damming
διστάδιον ὄντα, λίθους καὶ πᾶσαν ὕλην ἐξ ἐπαύλεων
two-stades being stones and all timber from villas

καὶ προαστείων καὶ τάφων συμφέρων, καὶ ἐπὶ ναῦς
and suburbs and tombs bringing-together and for ships
περιέπεμπεν ἔς τε Φοινίκην καὶ Λυκίαν καὶ Ῥόδον.
sent-round to both Phoenicia and Lycia and Rhodes
61 Ὑπερορώμενος δὲ ὑπὸ τῶν ἄλλων πλὴν Σιδωνίων
being-disregarded and by the others except Sidonians
ἐπανήχθη τῷ Δολοβέλλᾳ, καὶ κατέδυσαν μὲν ἑκατέρου
he-put-out-to-sea — against-Dolabella and sank indeed of-each
νῆες ἱκαναί, πέντε δὲ αὐτοῖς ἀνδράσιν εἷλεν
ships sufficient five and with-(their)-own men took
Δολοβέλλας. καὶ ὁ Κάσσιος αὖθις ἔπεμπεν ἐς τοὺς
Dolabella and — Cassius again sent to the(-men)
ὑπεριδόντας αὐτοῦ καὶ ἐς Κλεοπάτραν, τὴν Αἰγύπτου
having-disregarded him and to Cleopatra the of-Egypt
βασιλίδα, καὶ ἐς Σεραπίωνα, τὸν ἐν Κύπρῳ τῇ
queen and to Serapion the(-man) in Cyprus —
Κλεοπάτρᾳ στρατηγοῦντα. Τύριοι μὲν δὴ καὶ Ἀράδιοι
for-Cleopatra being-governor Tyrians indeed indeed and Aradians
καὶ Σεραπίων, οὐδὲν τῆς Κλεοπάτρας προμαθών,
and Serapion nothing — of-Cleopatra having-learned-beforehand
ἔπεμψαν αὐτῷ ναῦς, ὅσας εἶχον· ἡ βασιλὶς δὲ Κασσίῳ
sent to-him ships as-many-as they-had the queen but to-Cassius
μὲν προύφερε λιμὸν ὁμοῦ καὶ λοιμὸν ἐνοχλοῦντα τότε
indeed pleaded famine together and plague troubling then
Αἰγύπτῳ, διὰ δὲ οἰκειότητα τοῦ προτέρου Καίσαρος
Egypt because-of and intimacy of-the former Caesar
συνέπρασσε τῷ Δολοβέλλᾳ. καὶ ἀπὸ τῆσδε τῆς γνώμης
cooperated — with-Dolabella and from this the purpose
αὐτῷ καὶ τὰ τέσσαρα τέλη προπεπόμφει δι᾽ Ἀλλιηνοῦ
to-him also the four legions had-sent-ahead through Allienus
καὶ στόλον ἄλλον ἕτοιμον εἶχεν ἐπαμύνειν, ἄνεμοι δὲ
and fleet another ready had to-help winds but

ἐπεῖχον. Ῥόδιοι δὲ καὶ Λύκιοι οὔτε Κασσίῳ οὔτε Βρούτῳ
held(-it)-back Rhodians and and Lycians neither with-Cassius nor with-Brutus
συμμαχήσειν ἔφασκον ἐς ἐμφύλια, ἐπεὶ καὶ Δολοβέλλᾳ
to-be-going-to-ally said in civil(-wars) since even to-Dolabella
δοῦναι ναῦς προπομπούς, καὶ οὐκ εἰδέναι συμμαχούσας.
to-have-given ships as-escort and not to-have-known allying
ἑτοιμασάμενος οὖν ὁ Κάσσιος αὖθις ἐκ τῶν παρόντων 62
having-prepared then — Cassius again from the(-means) at-hand
ἐπανήγετο δὶς τῷ Δολοβέλλᾳ· καὶ τὸ μὲν πρῶτον
put-out twice — against-Dolabella and the indeed first(-time)
ἀγχώμαλοι διεκρίθησαν ἀπ᾽ ἀλλήλων, τῇ δὲ ἑξῆς
nearly-equal they-parted from one-another in-the and next
ναυμαχίᾳ ἡσσᾶτο ὁ Δολοβέλλας, καὶ ὁ Κάσσιος
sea-battle was-defeated — Dolabella and — Cassius
αἰρομένου τοῦ χώματος ἔκοπτεν αὐτοῦ τὸ τεῖχος ἤδη
rising the mound battered of-him the wall already
καὶ ἐσάλευεν. τόν τε νυκτοφύλακα αὐτοῦ Μάρσον οὐ
and shook(-it) the both night-watchman of-him Marsus not
δυνηθεὶς διαφθεῖραι διέφθειρε τοὺς ἡμεροφυλακοῦντας
having-been-able to-corrupt corrupted the day-guarding
αὐτῷ λοχαγοὺς καὶ ἀναπαυομένου τοῦ Μάρσου μεθ᾽ ἡμέραν
for-him centurions and resting — Marsus by day
ἐσῆλθεν, ὑπανοιχθεισῶν αὐτῷ πυλίδων κατὰ μέρη πολλῶν.
entered having-been-opened-secretly for-him posterns at parts many
ἁλούσης δὲ τῆς πόλεως ὁ μὲν Δολοβέλλας προύτεινε τὴν
having-been-taken and the city — indeed Dolabella held-out the
κεφαλὴν τῷ σωματοφύλακι αὐτοῦ καὶ τεμόντα προσέταξε
head to-the bodyguard of-himself and having-cut(-it) ordered
φέρειν Κασσίῳ σῶστρον ἴδιον· ὁ δὲ τεμὼν ἐπικατέσφαξεν
to-carry to-Cassius ransom own he and having-cut(-it) slew-upon(-it)
ἑαυτόν, διεχρήσατο δὲ καὶ Μάρσος ἑαυτόν. ὁ δὲ Κάσσιος
himself made-away-with and also Marsus himself — and Cassius

τὴν μὲν τοῦ Δολοβέλλα στρατιὰν ἐς ἑαυτὸν μεθώρκου,
the indeed — of-Dolabella army to himself transferred-the-oath
Λαοδικέων δὲ τά τε ἱερὰ καὶ τὰ κοινὰ ἐσύλα καὶ τοὺς
of-Laodiceans and the both temples and the public(-treasures) plundered and the
ἐπιφανεῖς ἐκόλαζε καὶ τοὺς λοιποὺς ἐσφοραῖς βαρυτάταις
notables punished and the rest with-levies heaviest
ἐξέτρυχε, μέχρι τὴν πόλιν περιήνεγκεν ἐς ἔσχατον κακοῦ.
wore-out until the city he-brought to extremity of-evil
63 μετὰ δὲ Λαοδίκειαν ἐπ᾽ Αἴγυπτον ὥρμα, πυνθανόμενος
after and Laodicea against Egypt he-set-out learning
μὲν Κλεοπάτραν βαρεῖ στόλῳ διαπλευσεῖσθαι πρός τε
indeed Cleopatra with-a-heavy fleet to-be-going-to-sail-across to both
Καίσαρα καὶ πρὸς Ἀντώνιον, ἐπινοῶν δὲ κωλῦσαί τε τὸν
Caesar and to Antony intending and to-prevent both the
πλοῦν καὶ τίσασθαι τῆς γνώμης τὴν βασιλίδα καὶ πρὸ
voyage and to-punish for-the purpose the queen and before
τῶνδε αὐτὴν Αἴγυπτον ἐνθυμιζόμενος μάλιστα ἐν καιρῷ,
these itself Egypt considering most in season
τετρυμένην τε ὑπὸ λιμοῦ καὶ ξενικὸν στρατὸν οὐ πολὺν
worn-out both by famine and foreign army not large
ἔχουσαν, ἄρτι τῶν Ἀλλιηνοῦ στρατιωτῶν ἀποστάντων.
having just-now the of-Allienus soldiers having-revolted
οὕτω δὲ αὐτὸν ὁρμῆς καὶ ἐλπίδος ἔχοντα καὶ καιροῦ
thus and him of-impulse and of-hope having and of-opportunity
ὁ Βροῦτος ἐκάλει κατὰ σπουδήν, ὡς ἤδη Καίσαρος καὶ
— Brutus summoned in haste as already Caesar and
Ἀντωνίου τὸν Ἰόνιον περώντων. ἄκων μὲν δὴ Κάσσιος
Antony the Ionian crossing unwilling indeed indeed Cassius
Αἴγυπτον ἐκ τῶν ἐλπίδων μεθίει καὶ τοὺς Παρθυαίων
Egypt from the hopes let-go and the of-Parthians
ἱπποτοξότας ἀπέπεμπε τιμήσας καὶ πρέσβεις πρὸς
mounted-archers sent-away having-honored(-them) and envoys to

τὸν βασιλέα αὐτῶν ἔστελλε περὶ μείζονος συμμαχίας,
the king of-them dispatched about greater alliance
ἣ μετὰ τὸ ἔργον ἀφικνουμένη Συρίαν τε καὶ πολλὰ
which after the event arriving Syria both and many
τῶν ἐγγὺς ἐθνῶν μέχρι Ἰωνίας ἐπέδραμε καὶ ἀνεχώρησεν.
of-the nearby nations as-far-as Ionia overran and withdrew
αὐτὸς δὲ ὁ Κάσσιος τὸν μὲν ἀδελφιδοῦν ἐν Συρίᾳ
himself and — Cassius the indeed nephew in Syria
μεθ' ἑνὸς τέλους ἀπέλιπε, τοὺς δὲ ἱππέας προύπεμψεν ἐς
with one legion left the and cavalry sent-ahead to
Καππαδοκίαν, οἳ Ἀριοβαρζάνην τε ἄφνω κατέκανον ὡς
Cappadocia who Ariobarzanes both suddenly slew as
ἐπιβουλεύοντα Κασσίῳ καὶ χρήματα πολλὰ τὰ ἐκείνου
plotting-against Cassius and money much the(-money) of-him
καὶ τὴν ἄλλην κατασκευὴν ἐς τὸν Κάσσιον ἐπανήγαγον.
and the other equipment to — Cassius brought-back
Ταρσέων δ' ἐς στάσιν διῃρημένων οἱ μὲν τὸν Κάσσιον 64
of-Tarsians and into faction having-been-divided some indeed — Cassius
ἐστεφανώκεσαν ἐλθόντα πρότερον, οἱ δὲ τὸν Δολοβέλλαν
had-crowned having-come earlier others and — Dolabella
ἐπελθόντα· ἀμφότεροι δὲ τῷ τῆς πόλεως σχήματι ταῦτα
having-come-after both and with-the of-the city name these-things
ἔπρασσον. καὶ παραλλὰξ αὐτῶν προτιμώντων ἑκάτερον,
did and alternately them preferring each
ὡς εὐμεταβόλῳ πόλει χαλεπῶς ἐχρῶντο ἑκάτεροι· Κάσσιος
as with-a-fickle city harshly dealt both Cassius
δὲ νικήσας Δολοβέλλαν καὶ ἐσφορὰν ἐπέθηκεν αὐτοῖς
and having-conquered Dolabella also a-levy imposed on-them
χίλια καὶ πεντακόσια τάλαντα. οἱ δὲ ἀποροῦντές τε καὶ
thousand and five-hundred talents they and being-at-a-loss both and
ὑπὸ στρατιωτῶν ἐπειγόντων ἀπαιτούμενοι σὺν ὕβρει, τά
by soldiers pressing being-dunned with insult the

τε κοινὰ ἀπεδίδοντο πάντα καὶ τὰ ἱερὰ ἐπὶ τοῖς
both public(-property) sold all and the sacred(-things) besides the
κοινοῖς, ὅσα εἶχον ἐς πομπὰς ἢ ἀναθήματα, ἔκοπτον.
public as-many-as they-had for processions or offerings they-cut-up
οὐδενὸς δὲ μέρους οὐδ' ὡς ἀνυομένου, ἐπώλουν αἱ ἀρχαὶ
no and part not-even so being-accomplished sold the magistrates
τὰ ἐλεύθερα· καὶ πρῶτα μὲν ἦν παρθένοι τε καὶ παῖδες,
the free(-persons) and first indeed were maidens both and boys
ἐπὶ δὲ γυναῖκές τε καὶ γέροντες ἐλεεινοί, βραχυτάτου
after and women both and old-men pitiable for-least
πάμπαν ὤνιοι, μετὰ δὲ οἱ νέοι. καὶ διεχρῶντο οἱ πλέονες
altogether for-sale after and the young-men and made-away-with the most
ἑαυτούς, ἕως ὧδε ἔχοντας ὁ Κάσσιος ἐκ Συρίας ἐπανιὼν
themselves until thus faring — Cassius from Syria returning
ᾤκτειρέ τε καὶ τοῦ λοιποῦ τῶν ἐσφορῶν ἀπέλυσε.
pitied(-them) both and from-the rest of-the levies released(-them)

IX · RHODES

Brutus and Cassius meet. Brutus would march on Macedonia, but Cassius' counsel prevails, to subdue Rhodes and Lycia first. Cassius rejects the Rhodians' appeals, including that of his old teacher Archelaus, defeats their fleet off Myndus, and takes the city, apparently because sympathizers open the posterns. He executes some fifty citizens, exiles twenty-five, seizes the treasures, and levies ten years' tribute on Asia, and he sends Murcus to intercept Cleopatra.

65 Τάρσος μὲν δὴ καὶ Λαοδίκεια τοιάδε ἐπεπόνθεσαν,
Tarsus indeed indeed and Laodicea such(-things) had-suffered
Κάσσιος δὲ καὶ Βροῦτος συμβολήσαντες ἀλλήλοιν,
Cassius and and Brutus having-met with-one-another
Βρούτῳ μὲν ἐδόκει τὴν στρατιὰν ἁλίσαντε
to-Brutus indeed it-seemed(-best) the army having-assembled(-both)

χωρεῖν ἐπὶ τὸ μεῖζον ἔργον ἐς Μακεδονίαν· τέλη τε γὰρ
to-go to the greater task to Macedonia legions both for
ἤδη τοῖς πολεμίοις ἐς τεσσαράκοντα εἶναι στρατοῦ καὶ
already to-the enemies about forty to-be of-army and
αὐτῶν διεληλυθέναι τὸν Ἰόνιον ὀκτώ· Κασσίῳ δὲ ἐδόκει
of-them to-have-crossed the Ionian eight to-Cassius but it-seemed(-best)
τῶν μὲν πολεμίων ἔτι περιορᾶν ὡς τριφθησομένων ἐν
the indeed enemies still to-overlook as going-to-be-worn-down among
σφίσιν ἐξ ἀπορίας διὰ τὸ πλῆθος, Ῥοδίους δὲ καὶ
themselves from want because-of the number Rhodians and and
Λυκίους ἐξελεῖν, εὖνους τε ὄντας ἐκείνοις καὶ ναυτικὸν
Lycians to-take-out well-disposed both being to-those and a-fleet
ἔχοντας, ἵνα μὴ κατὰ νώτου σφίσι γίγνωνται παρὰ τὸ
having so-that not at back to-them they-might-be during the
ἔργον. ἐπεὶ δὲ ἔδοξεν ὧδε, ἐχώρουν Βροῦτος μὲν ἐπὶ
task when and it-seemed(-good) thus they-went Brutus indeed against
Λυκίους, Κάσσιος δὲ ἐπὶ Ῥοδίους, τεθραμμένος τε ἐν
Lycians Cassius and against Rhodians having-been-brought-up both in
αὐτῇ καὶ πεπαιδευμένος τὰ Ἑλληνικά. ὡς δὲ κρατίστοις
it and educated in-the Greek(-letters) as and with-strongest
τὰ ναυτικὰ ἀνδράσι συνοισόμενος ἐς μάχην, τὰς ἰδίας
in-the naval(-things) men going-to-engage in battle the own
ναῦς ἐπεσκεύαζε καὶ ἀνεπλήρου καὶ ἐγύμναζεν ἐν Μύνδῳ.
ships refitted and manned and trained in Myndus
Ῥοδίων δὲ οἱ μὲν ἐν λόγῳ μᾶλλον ὄντες ἐδεδοίκεσαν 66
of-Rhodians and those indeed in account more being feared
Ῥωμαίοις μέλλοντες ἐς χεῖρας ἰέναι, ὁ δὲ λεὼς
with-Romans being-about to hands to-come the and people
ἐμεγαλοφρονεῖτο, ἐπεί οἱ καὶ παλαιῶν ἔργων πρὸς
was-proud since to-them also of-old deeds against
οὐχ ὁμοίους ἄνδρας ἐμνημόνευον. ναῦς τε καθεῖλκον τὰς
not like men they-remembered ships both they-launched the

ἀρίστας σφῶν τρεῖς καὶ τριάκοντα. καὶ τάδε πράσσοντες
best of-them three and thirty and these-things doing
ἔπεμπόν τινας ἐς Μύνδον ὅμως, οἳ τὸν Κάσσιον ἠξίουν
sent some to Myndus nevertheless who — Cassius asked
μήτε Ῥόδου καταφρονεῖν, πόλεως ἀμυναμένης ἀεὶ τοὺς
neither Rhodes to-despise a-city having-punished always the(-men)
καταφρονήσαντας, μήτε συνθηκῶν, αἳ Ῥοδίοις εἰσὶ καὶ
having-despised(-it) nor treaties which for-Rhodians are and
Ῥωμαίοις, ὅπλα μὴ φέρειν ἐπὶ ἀλλήλους· εἰ δέ τι περὶ
Romans arms not to-bear against one-another if but anything about
συμμαχίας ἐπιμέμφοιτο, ἐθέλειν παρὰ τῆς Ῥωμαίων βουλῆς
alliance he-blamed(-them) to-be-willing from the of-Romans senate
πυθέσθαι, καὶ κελευούσης ἔφασαν συμμαχήσειν. οἱ μὲν
to-learn and bidding(-it) they-said to-be-going-to-ally they indeed
δὴ τοιάδε μάλιστα ἔλεγον, ὁ δὲ τὰ μὲν ἄλλα τὸν
indeed such(-things) mostly said he and the indeed other(-things) the
πόλεμον ἀντὶ λόγων ἔφη κρινεῖν, τὰς δὲ συνθήκας
war instead-of words he-said to-be-going-to-decide the and treaties
κελεύειν ὅπλα μὴ φέρειν ἐπ᾽ ἀλλήλους, καὶ ἐπενηνοχέναι
to-bid arms not to-bear against one-another and to-have-borne
Ῥοδίους Κασσίῳ, Δολοβέλλᾳ συμμαχοῦντας, κελεύειν δὲ
Rhodians against-Cassius with-Dolabella allying to-bid and
ἀλλήλοις συμμαχεῖν, Κασσίῳ δὲ δεομένῳ εἰρωνεύεσθαι
with-one-another to-ally to-Cassius and asking to-dissemble
τὰ περὶ τῆς Ῥωμαίων βουλῆς, φευγούσης καὶ ἀλωμένης
the(-things) about the of-Romans senate fleeing and wandering
ἐν τῷ παρόντι διὰ τοὺς ἐν ἄστει τυράννους, οἳ δώσουσι
in the present because-of the in city tyrants who will-pay
μὲν αὐτοὶ δίκας, δώσουσι δὲ καὶ Ῥόδιοι τὰ ἐκείνων
indeed themselves penalty will-pay and also Rhodians the(-cause) of-those
προτιμῶντες, ἢν μὴ θᾶσσον ἀνέχωνται τῶν κελευομένων.
preferring if not sooner they-submit-to the(-things) ordered

ὧδε μὲν ὁ Κάσσιος αὐτοὺς ἠμείψατο, καὶ οἱ εὖ
thus indeed — Cassius them answered and the(-men) well
φρονοῦντες Ῥοδίων μᾶλλον ἐδεδοίκεσαν· τὸ δὲ πλῆθος
thinking of-Rhodians more feared the but multitude
ἐδημαγώγουν Ἀλέξανδρός τε καὶ Μνασέας ἀναμιμνήσκοντες,
were-swaying Alexander both and Mnaseas reminding(-them)
ὅτι καὶ Μιθριδάτης πλέοσι ναυσὶν ἐπιπλεύσειε τῇ Ῥόδῳ
that also Mithridates with-more ships had-sailed-against — Rhodes
καὶ Δημήτριος ἔτι πρὸ τοῦ Μιθριδάτου.
and Demetrius still before — Mithridates
οἱ μὲν δὴ τὸν Ἀλέξανδρον ἐκ τούτων εἵλοντο σφίσι 67
they indeed indeed — Alexander from these-things chose for-them
πρυτανεύειν, ἥπερ ἐστὶν ἀρχὴ παρ᾽ αὐτοῖς μάλιστα
to-be-prytanis which-very is office among them most
αὐτοκράτωρ, καὶ ναυαρχεῖν Μνασέαν, ἔπεμπον δ᾽
with-full-power and to-command-the-fleet Mnaseas sent but
ὅμως ἐς τὸν Κάσσιον ἔτι πρεσβευτὴν Ἀρχέλαον, ὃς ἐν
nevertheless to — Cassius still as-envoy Archelaus who in
Ῥόδῳ τὰ Ἑλληνικὰ διδάσκαλος γεγένητο τῷ Κασσίῳ,
Rhodes in-the Greek(-letters) teacher had-been — to-Cassius
δεησόμενον ἤδη τόνδε τοῦ Κασσίου λιπαρέστερον· καὶ
going-to-plead already this(-man) — with-Cassius more-insistently and
ἐδεῖτο, τῆς δεξιᾶς λαβόμενος, ὡς γνωρίμου. “μὴ πόλιν
begged the right-hand having-taken as of-an-acquaintance not a-city
ἀναστήσῃς Ἑλληνίδα φιλέλλην ἀνήρ, μὴ Ῥόδον φιλελεύθερος
do-uproot Greek Greek-loving man not Rhodes freedom-loving
ἀνήρ· μηδὲ αἰσχύνῃς ἀξίωμα Δώριον, οὐχ ἡσσημένον, ἐξ
man nor disgrace a-dignity Dorian not defeated from
οὗ γεγόναμεν, μηδὲ ἐκλάθῃ καλῆς ἱστορίας ἧς ἔμαθες ἐν
when we-have-existed nor forget of-fine history which you-learned in
Ῥόδῳ τε καὶ ἐν Ῥώμῃ, ἐν Ῥόδῳ μέν, ὅσα Ῥόδιοι κατὰ
Rhodes both and in Rome in Rhodes indeed how-much Rhodians against

πόλεις καὶ πρὸς βασιλέας, ἄλλους τε καὶ τοὺς μάλιστα
cities and against kings others both and the(-ones) most
ἀμάχους δόξαντας εἶναι, Δημήτριον καὶ Μιθριδάτην, ὑπὲρ
invincible having-seemed to-be Demetrius and Mithridates for
ἐλευθερίας ἔπραξαν, ὑπὲρ ἧς δὴ καὶ σὺ φὴς τάδε
freedom did for which indeed also you say these(-toils)
κάμνειν· ἐν Ῥώμῃ δέ, ὅσα ὑμῖν αὐτοῖς καθ' ἑτέρων
to-labor in Rome but how-much with-you yourselves against others
καὶ κατ' Ἀντιόχου τοῦ μεγάλου συνεμαχήσαμεν, ὧν
and against Antiochus the great we-fought-as-allies of-which
εἰσὶν ὑπὲρ ἡμῶν ἀνάγραπτοι στῆλαι παρ' ὑμῖν.
are on-behalf-of us inscribed pillars among you
68 τάδε μὲν δὴ καὶ γένους ἕνεκα καὶ ἀξιώσεως ἡμῶν
these-things indeed indeed both of-race for-the-sake and of-dignity our
καὶ τύχης ἐς τὸ νῦν ἀδουλώτου καὶ συμμαχίας καὶ
and of-fortune to the now unenslaved and of-alliance and
προαιρέσεως ἐς ὑμᾶς, ὦ Ῥωμαῖοι, λελέχθω· πρὸς
of-policy toward you O Romans let-have-been-said to
σὲ δέ, ὦ Κάσσιε, καὶ αἰδώς τις ἔστιν ἐξαίρετος ἔς
you and O Cassius also respect some is special toward
τε τὴν πόλιν καὶ τὴν ἐν αὐτῇ τροφήν τέ σου καὶ
both the city and the in it upbringing both your and
παίδευσιν καὶ διατριβὴν καὶ ἑστίαν, ἣν ᾤκησας, καὶ
education and sojourn and hearth which you-inhabited and
τοὐμὸν διδασκαλεῖον αὐτὸ καὶ ἐμέ, ἐλπίσαντα μὲν ἐς
my-own school itself and me having-hoped indeed for
ἕτερα τούτοις ποτὲ ἐναβρυνεῖσθαι, νῦν δὲ ὑπὲρ τῆς
other(-things) in-these once to-be-going-to-pride-myself now but on-behalf-of the
πατρίδος αὐτὰ δαπανῶντα, ἵνα μηδ' αὐτή σοι πολεμεῖν
fatherland them spending so-that not-even it with-you to-make-war
ἀναγκάζηται πεπαιδευμένῳ τε ὑφ' αὑτῆς καὶ τεθραμμένῳ
be-compelled having-been-educated both by itself and having-been-brought-up

μηδὲ γένηται δυοῖν ὑπ᾽ ἀνάγκης θάτερον, ἢ Ῥοδίους
nor happen of-two by necessity the-one either Rhodians
ἀποθανεῖν πάντως ἢ Κάσσιον ἡσσᾶσθαι. συμβουλεύω δὲ
to-die utterly or Cassius to-be-defeated I-advise and
ἐπὶ τῇ παρακλήσει, τοιῶνδέ σε ὑπὲρ τῆς Ῥωμαίων
upon the appeal such you on-behalf-of the of-Romans
πολιτείας ἁπτόμενον ἔργων θεοὺς ἡγεμόνας αἰεὶ ποιεῖσθαι
state undertaking deeds gods leaders always to-make
παντὸς ἔργου. θεοὺς δ᾽ ὠμόσατε, ὅτε ἡμῖν ἔναγχος διὰ
of-every deed by-gods and you-swore when with-us lately through
Γαΐου Καίσαρος συνετίθεσθε καὶ σπονδὰς ἐπὶ τοῖς ὅρκοις
Gaius Caesar you-made-treaties and libations over the oaths
ἐσπένδετε καὶ δεξιὰς ἐτίθεσθε, αἳ καὶ παρὰ πολεμίοις
poured and right-hands gave which even among enemies
ἰσχύουσιν, οὐ παρὰ φίλοις καὶ τροφεῦσιν; φείδου δὲ ἐπὶ
have-force not among friends and foster-fathers spare(-us) and for
τοῖς θεοῖς καὶ δόξης τῆς κατὰ ἀνθρώπους· ὡς οὐδέν ἐστι
the gods and reputation the among men as nothing is
συνθηκῶν παραβάσεως μᾶλλον, ὃ τοὺς ἁμαρτάνοντας
of-treaties than-transgression more which the(-men) erring
ἀπίστους ἐς ἅπαντα ποιεῖ καὶ φίλοις καὶ πολεμίοις".
untrustworthy in everything makes both to-friends and to-enemies
ταῦτ᾽ εἰπὼν ὁ πρεσβύτης οὐ μεθίετο τῆς χειρός, ἀλλ᾽ 69
these-things having-said the old-man not let-go of-the hand but
ἐπεδάκρυεν αὐτῇ, ὡς ἐρυθριᾶσαι μὲν ἐπὶ τῷ σχήματι τὸν
wept-over it so-that to-blush indeed at the scene —
Κάσσιον καὶ παθεῖν τι ὑπὸ αἰδοῦς, ὑφελόντα δὲ
Cassius and to-be-moved somewhat from shame having-withdrawn(-it) but
ὅμως εἰπεῖν· "εἰ μὲν οὐ συνεβούλευσας Ῥοδίοις μὴ ἀδικεῖν
nevertheless to-say if indeed not you-advised Rhodians not to-wrong
με, σύ με ἠδίκεις· εἰ δὲ διδάσκων οὐκ ἔπεισας, ἀμυνῶ
me you me wronged if but teaching not you-persuaded(-them) I-will-help

σοι. ἠδικούμην δὲ δή που σαφῶς τὸ μὲν πρῶτον ἀδίκημα
you I-was-wronged and indeed surely clearly the indeed first wrong
συμμαχίαν αἰτῶν καὶ παρορώμενος ὑπὸ τῶν παιδευσάντων
alliance asking and being-disregarded by the(-men) having-educated
καὶ θρεψάντων, τὸ δὲ ἑξῆς προτιμώντων μου Δολοβέλλαν,
and having-reared(-me) the and next preferring than-me Dolabella
ὃν οὐκ ἐπαίδευσαν οὐδὲ ἀνέθρεψαν, τὸ δὲ ἀνιαρότερον,
whom not they-educated nor brought-up the and more-grievous
ἐμοῦ μὲν καὶ Βρούτου καὶ ὅσων ὁρᾶτε ἀπὸ τῆς βουλῆς
me indeed and Brutus and as-many-as you-see from the senate
ἀρίστων ἀνδρῶν φευγόντων τυραννίδα καὶ τὴν πατρίδα
best men fleeing tyranny and the fatherland
ἐλευθερούντων, ὦ Ῥόδιοι φιλελεύθεροι, Δολοβέλλα δὲ αὐτὴν
freeing O Rhodians freedom-loving Dolabella but it
καταδουλοῦντος ἑτέροις, οἷς δὴ καὶ ὑμεῖς εὔνως
enslaving to-others to-whom indeed also you well-disposed
ἔχοντες ὑποκρίνεσθε ἐξίστασθαι τοῖς ἐμφυλίοις ἡμῶν.
being pretend to-stand-aside from-the civil(-wars) our
ἔστι δὲ ἐμφύλια μέν, εἰ καὶ ἡμεῖς δυναστείας ὠρεγόμεθα,
it-is and civil indeed if also we power reached-for
πόλεμος δὲ σαφὴς τὸ γιγνόμενόν ἐστι δημοκρατίας πρὸς
war but plain the(-thing) happening is of-democracy against
μοναρχίαν. καὶ δημοκρατίαν ἀβοήθητον καταλείπετε οἱ
monarchy and democracy unhelped you-leave the(-men)
παρακαλοῦντες ὑπὲρ αὐτονομίας· φιλίαν τε Ῥωμαίοις
exhorting on-behalf-of autonomy friendship both with-Romans
προφέροντες οὐκ ἐλεεῖτε ἀκρίτους ἐπὶ θανάτῳ καὶ δημεύσει
alleging not you-pity untried for death and confiscation
προγραφομένους, ἀλλ' ὑποκρίνεσθε πεύσεσθαι τῆς
being-proscribed but pretend to-be-going-to-learn from-the
βουλῆς τῆς ταῦτα πασχούσης καὶ οὐδὲ ἀμύνειν ἑαυτῇ πω
senate the(-one) these-things suffering and not-even to-defend itself yet

δυναμένης. ἡ δ' ὑμῖν ἤδη προαπεκρίνατο, ἐν οἷς ἐψηφίσατο
being-able it but to-you already has-answered-beforehand in what it-voted
τοὺς ἀμφὶ τὴν ἕω πάντας ἀμύνειν ἐμοί τε καὶ Βρούτῳ.
the(-men) around the east all to-help me both and Brutus
σὺ δέ, εἰ μέν ποτε ἡμῖν περικτωμένοις τι συνεπράξατε, 70
you and if indeed ever to-us acquiring something you-cooperated
ὧν εὐεργεσίας καὶ μισθοὺς ἀντικεκόμισθέ που,
of-which benefits and pay you-have-received-in-return perhaps
καταλογίζῃ, ὅτι δὲ ἡμῖν ἐς τὴν ἐλευθερίαν καὶ σωτηρίαν
you-reckon that but to-us for the freedom and safety
ἀδικουμένοις οὐ συμμαχεῖτε, ἐπιλανθάνῃ· οὓς εἰκὸς ἦν,
being-wronged not you-ally you-forget whom proper was
εἰ καὶ μηδὲν ἡμῖν ἐς ἀλλήλους ὑπῆρχεν, ἀλλὰ νῦν
if even nothing to-us toward one-another existed but now
ἄρχειν ἐθελοντὰς ὑπερμαχῆσαι τῆς Ῥωμαίων δημοκρατίας,
to-begin as-volunteers to-fight-for the of-Romans democracy
Δωριέας ὄντας. οἳ δ' ἀντὶ τοιούτων ἔργων καὶ λογισμῶν
Dorians being who but instead-of such deeds and reasonings
συνθήκας ἡμῖν προφέρετε, γενομένας μὲν ὑμῖν καὶ τάσδε
treaties to-us you-allege made indeed with-you also these
πρὸς Γάιον Καίσαρα, τῆσδε τῆς μοναρχίας ἡγεμόνα·
with Gaius Caesar of-this the monarchy leader
λέγουσι δ' ὅμως αἱ συνθῆκαι Ῥωμαίους καὶ Ῥοδίους
say and nevertheless the treaties Romans and Rhodians
ἐν ταῖς χρείαις ἀλλήλοις ἀμύνειν. ἀμύνατε οὖν ἐς τὰ
in the needs one-another to-help help then in the
μέγιστα κινδυνεύουσι Ῥωμαίοις. Κάσσιος ὑμῖν ἐστιν ὁ
greatest(-things) being-in-danger Romans Cassius to-you is the(-one)
τὰς συνθήκας τάσδε προφέρων καὶ ἐπὶ συμμαχίαν καλῶν,
the treaties these alleging and to alliance calling
Ῥωμαῖος ἀνὴρ καὶ Ῥωμαίων στρατηγός, ὥς φησι τὸ
a-Roman man and of-Romans general as says the

ψήφισμα τῆς βουλῆς, ἐν ᾧ πάντας ὑπακούειν ἡμῖν ἔταξε
decree of-the senate in which all to-obey us it-ordered
τοὺς τοῦ Ἰονίου πέραν. τὰ δ' αὐτὰ καὶ Βροῦτος ὑμῖν
the(-men) of-the Ionian beyond the and same(-decrees) also Brutus to-you
προτείνει ψηφίσματα καὶ Πομπήιος, τὴν θάλασσαν ὑπὸ τῆς
holds-out decrees and Pompey the sea by the
βουλῆς ἐπιτετραμμένος, τὰς δ' ἱκετείας ἐπὶ τοῖς ψηφίσμασι
senate entrusted the and supplications upon the decrees
καὶ οἵδε πάντες, ὅσοι φεύγουσιν ἀπὸ τῆς βουλῆς, οἱ
also these all as-many-as flee from the senate some
μὲν ἐς ἐμὲ καὶ Βροῦτον, οἱ δ' ἐς Πομπήιον. ἔστι δὲ
indeed to me and Brutus others and to Pompey it-is and
δή που τὸ συγκείμενον, Ῥωμαίοις Ῥοδίους βοηθεῖν,
indeed surely the(-thing) agreed for-Romans Rhodians to-help
κἂν καθ' ἕνα χρῄζωσιν. εἰ δὲ οὔτε στρατηγοὺς ἡμᾶς οὔτε
even-if by one they-need(-it) if but neither generals us nor
Ῥωμαίους ἔτι, ἀλλὰ φυγάδας ἢ ξένους ἢ κατακρίτους,
Romans still but exiles or foreigners or condemned
ὡς οἱ προγράψαντες λέγουσιν, ἡγεῖσθε, οὐ πρὸς ἡμᾶς
as the(-men) having-proscribed(-us) say you-consider not toward us
ἐστιν ὑμῖν ἔτι, ἀλλὰ πρὸς Ῥωμαίους, ὦ Ῥόδιοι, τὰ
is for-you any-longer but toward Romans O Rhodians the(-things)
συγκείμενα· ἡμεῖς δὲ ξένοι καὶ ἀλλότριοι τῶν συνθηκῶν
agreed we and foreigners and strangers to-the treaties
ὄντες πολεμήσομεν ὑμῖν, ἢν μὴ ἐς πάντα κατακούητε".
being shall-make-war on-you if not in everything you-obey
71 τοιαῦτα μὲν ὁ Κάσσιος ἐπειρωνευσάμενος τὸν Ἀρχέλαον
such indeed — Cassius having-dissembled — Archelaus
ἀπέλυεν, Ἀλέξανδρος δὲ καὶ Μνασέας, οἱ Ῥοδίων
released Alexander and and Mnaseas the(-men) of-Rhodians
ἡγούμενοι, ταῖς τριάκοντα καὶ τρισὶ ναυσὶν ἀνήγοντο ἐπὶ
leading with-the thirty and three ships put-out against

Κάσσιον ἐς Μύνδον ὡς προκαταπλήξοντες τῷ ἐπίπλῳ·
Cassius to Myndus as going-to-terrify-beforehand with-the attack
καί τί που καὶ κούφως εἶχον ἐλπίδος, ὅτι καὶ
and something perhaps also lightly they-had of-hope because also
Μιθριδάτῃ ἐς Μύνδον ἐπιπλεύσαντες ἐδόκουν ἐς τὸ τοῦ
against-Mithridates to Myndus having-sailed they-seemed to the of-the
πολέμου τέλος εὐτυχῆσαι. εἰρεσίᾳ δὲ ἐς ἐπίδειξιν χρώμενοι
war end to-have-prospered with-rowing and for display using
τήν τε πρώτην ἡμέραν ηὐλίσαντο ἐν Κνίδῳ καὶ τῆς
the both first day they-camped at Cnidus and on-the
ἐπιούσης ἐπεφαίνοντο τοῖς ἀμφὶ τὸν Κάσσιον ἐκ τοῦ
following(-day) appeared to-the(-men) around — Cassius from the
πελάγους. οἱ δὲ θαυμάσαντες ἀντανήγοντο, καὶ τὸ ἔργον ἦν
open-sea they and having-wondered put-out-against(-them) and the work was
ἑκατέρωθεν ἰσχύος τε καὶ δυνάμεως· Ῥόδιοι μὲν γὰρ ναυσὶ
on-both-sides of-strength both and of-power Rhodians indeed for with-ships
κούφαις διεξέπλεόν τε τοὺς πολεμίους ὀξέως καὶ περιέπλεον
light sailed-through both the enemies sharply and sailed-round
καὶ ἐπανόδοις ἐχρῶντο, Ῥωμαῖοι δὲ ἐπὶ νεῶν βαρυτέρων,
and returns used Romans but on ships heavier
ὅτε συμπλακείεν, ἀπὸ βαρυτέρας ῥύμης ἐπεβάρουν ὥσπερ
when they-closed from heavier momentum pressed as
ἐν πεζομαχίᾳ. τοῦ δὲ Κασσίου πλήθει νεῶν τὰς πολεμίας
in a-land-battle — and of-Cassius with-number of-ships the enemy
περιλαβόντος, οἱ μὲν Ῥόδιοι περιπλεῖν ἔτι καὶ διεκπλεῖν
having-surrounded the indeed Rhodians to-sail-round any-longer and to-sail-through
οὐκ ἐδύναντο, ἐμβάλλουσι δ' αὐτοῖς μόνον ἐκ τοῦ μετώπου
not were-able ramming but for-them only from the front
καὶ ἀναχωροῦσιν ἡ μὲν ἐμπειρία διέφθαρτο ὑπὸ τῆς
and backing-off the indeed skill had-been-ruined by the
στενοχωρίας κεκυκλευμένοις, αἱ δὲ ἐμβολαὶ καὶ ἀποσιμώσεις
confinement having-been-encircled the but rammings and backings-off

ἐς βαρυτέρας τὰς Ῥωμαίων ναῦς ἀσθενεῖς ἐγίγνοντο,
against heavier the of-Romans ships weak became
Ῥωμαίοις δ' ἦσαν ἐς κουφοτέρας εὔτονοι, μέχρι Ῥόδιαι
for-Romans but were against lighter(-ships) vigorous until Rhodian(-ships)
μὲν τρεῖς αὐτοῖς ἀνδράσιν ἐλήφθησαν καὶ δύο ἀνερράγησάν
indeed three with-very men were-taken and two were-broken-up
τε καὶ κατέδυσαν καὶ αἱ λοιπαὶ βεβλαμμέναι διέφυγον ἐς τὴν
both and sank and the remaining damaged escaped to —
Ῥόδον, αἱ δὲ Ῥωμαίων ἅπασαι μὲν ἐπανῆλθον ἐς Μύνδον,
Rhodes the but of-Romans all indeed returned to Myndus
ἐπεσκευάζοντο δὲ καὶ τούτων αἱ πλέονες βλαβεῖσαι.
were-refitted and also of-these the most having-been-damaged
72 τοῦτο μὲν δὴ τῆς ἐν Μύνδῳ Ῥωμαίων τε καὶ Ῥοδίων
this indeed indeed of-the at Myndus of-Romans both and Rhodians
ναυμαχίας τέλος ἦν, καὶ αὐτὴν γιγνομένην ὁ Κάσσιος ἀπὸ
sea-battle end was and it happening — Cassius from
ὄρους καθεώρα· ὡς δὲ ἐπεσκεύασε τὰ σκάφη, διέπλευσεν
a-mountain watched when and he-had-refitted the boats he-sailed
ἐς Λώρυμα, Ῥοδίων τι φρούριον ἐν τῇ περαίᾳ, καὶ τὸ
to Loryma of-Rhodians a fort in the opposite-mainland and the
πεζὸν ἐς τὴν Ῥόδον διεβίβαζεν ἐπὶ ὁλκάδων ὑπὸ Φαννίῳ
infantry to — Rhodes ferried on merchantmen under Fannius
τε καὶ Λέντλῳ. αὐτὸς δὲ ἐπέπλει ταῖς ὀγδοήκοντα
both and Lentulus himself and sailed-against(-it) with-the eighty
ναυσὶν ἐσκευασμέναις ἐς τὸ φοβερώτατον καὶ περιστήσας
ships equipped for the most-terrifying(-effect) and having-set-round
τῇ Ῥόδῳ τὸ πεζὸν ὁμοῦ καὶ τὸ ναυτικὸν ἡσύχαζεν ὡς
— Rhodes the infantry together and the fleet kept-quiet as
ἐνδωσόντων τι τῶν πολεμίων. οἱ δὲ ἐπανήχθησαν
going-to-give-in somewhat the enemies they and put-out
μὲν αὖθις εὐθαρσῶς, δύο δὲ καὶ τότε ναῦς ἀποβαλόντες
indeed again boldly two and also then ships having-lost

συνεκλείσθησαν. καὶ ἀναδραμόντες ἐπὶ τὰ τείχη πάντα
were-shut-in and having-run-up on the walls all
τε ὅπλων ἐπλήρουν καὶ ἀπεμάχοντο ὁμοῦ τοὺς περὶ
both with-arms filled and fought-off together the(-men) around
τὸν Φάννιον ἀπὸ τῆς γῆς ἐνοχλοῦντας καὶ τὸν Κάσσιον
— Fannius from the land harassing and — Cassius
τοῖς πρὸς θαλάσσῃ τείχεσι τὸ ναυτικὸν οὐκ ἀνέτοιμον
to-the by the-sea walls the fleet not unready
ἐς τειχομαχίαν ἐπαγαγόντα· ἐλπίζων γάρ τι τοιοῦτον
for wall-fighting having-brought-up hoping for something such
ἐπεφέρετο πύργους ἐπτυγμένους, οἳ τότε ἀνίσταντο.
he-carried towers folded which then were-raised
Ῥόδος μὲν δὴ δύο πείρας καμοῦσα ἔκ τε γῆς καὶ
Rhodes indeed indeed in-two attempts having-been-worsted from both land and
θαλάσσης ἐπολιορκεῖτο· καὶ οὐδέν, ὡς ἐν ἔργῳ ταχεῖ καὶ
sea was-besieged and nothing as in an-affair swift and
ἀδοκήτῳ, παρεσκεύαστο αὐτοῖς ἐς πολιορκίαν. ὅθεν ἦν
unexpected had-been-prepared for-them for siege whence it-was
εὔδηλον ἁλώσεσθαι τάχιστα τὴν πόλιν ἢ χερσὶν ἢ
very-clear to-be-going-to-be-taken very-soon the city either by-hands or
λιμῷ· καὶ τάδε Ῥοδίων οἱ συνετώτεροι καθεώρων, καὶ
by-famine and these-things of-Rhodians the more-intelligent saw and
Φάννιος αὐτοῖς καὶ Λέντλος διελέγοντο.
Fannius with-them and Lentulus conversed
γιγνομένων δ' ἔτι τούτων ἄφνω Κάσσιος ἦν ἐν μέσῃ τῇ 73
happening and still these-things suddenly Cassius was in middle the
πόλει μετ' ἐπιλέκτου στρατοῦ, βίας μὲν οὐδεμιᾶς φανείσης
city with picked army force indeed none having-appeared
οὐδὲ κλιμάκων ἔργου. εἴκαζον δὲ οἱ πολλοί, καὶ δοκεῖ
nor of-ladders work guessed and the many and it-seems
γενέσθαι, τοὺς χαρίεντας αὐτῷ τῶν πολιτῶν ὑπανοῖξαι
to-have-happened the well-disposed to-him of-the citizens to-have-opened-secretly

πυλίδας ἐλέῳ τῆς πόλεως καὶ προμηθείᾳ τροφῶν. ὧδε
posterns from-pity of-the city and from-foresight of-provisions thus
μὲν ἑαλώκει Ῥόδος, καὶ Κάσσιος ἐν αὐτῇ προυκάθητο
indeed had-been-taken Rhodes and Cassius in it sat-in-state
ἐπὶ βήματος καὶ δόρυ τῷ βήματι παρεστήσατο ὡς ἐπὶ
on a-tribunal and a-spear at-the tribunal set-up as over
δοριαλώτῳ. ἀτρεμεῖν τε κελεύσας τὸν στρατὸν ἀκριβῶς
spear-won(-land) to-be-quiet both having-ordered the army strictly
καὶ θάνατον ἐπικηρύξας, εἴ τις ἁρπάσειεν ἢ βιάσαιτό
and death having-proclaimed if anyone should-plunder or should-use-force-on
τι, αὐτὸς ἐξ ὀνόματος ἐκάλει Ῥοδίων ἐς πεντήκοντα
anything himself by name called of-Rhodians about fifty
ἄνδρας καὶ ἀχθέντας ἐκόλαζε θανάτῳ· ἑτέροις δέ, ἀμφὶ
men and brought punished with-death others and about
τοὺς πέντε καὶ εἴκοσιν, οὐχ εὑρεθεῖσι φυγὴν ἐπέταττεν.
the five and twenty not found exile ordered
χρήματα δὲ ὅσα ἦν ἢ χρυσὸς ἢ ἄργυρος ἐν ἱεροῖς τε
money and as-much-as was either gold or silver in temples both
καὶ δημοσίοις, πάντα συλήσας ἐκέλευσε καὶ τὸν ἰδιωτικὸν
and public(-places) all having-stripped he-ordered also the private
ἐκφέρειν τοὺς κεκτημένους εἰς ἡμέραν ῥητήν· καὶ ἐπεκήρυξε
to-bring-out the owners on a-day appointed and proclaimed
τοῖς μὲν ἐπικρύψασι θάνατον, τοῖς δὲ μηνύσασι δεκάτην,
for-the indeed concealing death for-the but informing a-tenth
δούλοις δὲ καὶ ἐλευθερίαν. οἱ δ' ἐν μὲν ἀρχῇ πολλοὶ
for-slaves and also freedom they and at indeed first many
συνέκρυψαν, οὐκ ἐς τέλος ἐλπίζοντες ἀφίξεσθαι τὴν
hid-together not to end expecting to-be-going-to-arrive the
ἀπειλήν· διδομένων δὲ τῶν γερῶν καὶ κολαζομένων τῶν
threat being-given and the rewards and being-punished the(-men)
μηνυομένων ἔδεισάν τε καὶ προσθεσμίαν ἑτέραν λαβόντες
informed-on they-feared both and a-deadline another having-received

οἱ μὲν ἐκ γῆς ἀνώρυσσον, οἱ δὲ ἐκ φρεάτων ἀνίμων,
some indeed from earth dug-up others and from wells drew-up
οἱ δὲ ἐξέφερον ἐκ τάφων πολὺ πλέονα τῶν προτέρων.
others and brought-out from tombs much more than-the earlier
αἱ μὲν δὴ Ῥοδίων συμφοραὶ τοιαίδε ἦσαν, καὶ Λεύκιος 74
the indeed indeed of-Rhodians misfortunes such were and Lucius
Οὐᾶρος αὐτοῖς μετὰ φρουρᾶς ὑπελέλειπτο· ὁ δὲ Κάσσιος
Varus with-them with a-garrison had-been-left — and Cassius
ἡδόμενος τῇ ταχυεργίᾳ τῆς ἁλώσεως καὶ τῷ πλήθει
pleased with-the speed of-the capture and with-the amount
τῶν χρημάτων ἐπέταττεν ὅμως καὶ τοῖς ἄλλοις ἔθνεσι
of-the money imposed nevertheless also on-the other nations
τῆς Ἀσίας ἅπασι φόρους ἐτῶν δέκα συμφέρειν. καὶ οἱ μὲν
— of-Asia all tributes of-years ten to-contribute and they indeed
ἐπράσσοντο συντόνως, ἐξαγγέλλεται δὲ αὐτῷ Κλεοπάτρα
were-exacted strenuously is-reported and to-him Cleopatra
μέλλουσα διαπλεῖν μεγάλῳ στόλῳ καὶ παρασκευῇ
being-about to-sail-across with-a-great fleet and equipment
βαρυτάτῃ πρὸς Καίσαρά τε καὶ Ἀντώνιον· τὰ γὰρ
heaviest to Caesar both and Antony the(-side) for
ἐκείνων αἱρουμένη καὶ τέως διὰ τὸν πρότερον Καίσαρα,
of-those choosing and till-then because-of the former Caesar
τότε μᾶλλον ᾑρεῖτο διὰ τὸν ἐκ Κασσίου φόβον. ὁ δὲ
then more chose(-it) because-of the from Cassius fear he and
Μοῦρκον μετά τε ὁπλιτῶν ἀρίστου τέλους καὶ τοξοτῶν
Murcus with both heavy-infantry of-best of-legion and archers
τινων ἐπὶ νεῶν ἑξήκοντα καταφράκτων ἐς Πελοπόννησον
some on ships sixty decked to Peloponnese
ἔπεμπε ναυλοχεῖν περὶ Ταίναρον, ∗∗∗ περισυράμενος ἐκ
sent to-lie-in-wait about Taenarum (lacuna) having-swept-up from
τῆς Πελοποννήσου λείαν, ὅσην ἔφθασε.
— Peloponnese booty as-much-as he-could-first

Granted Macedonia and Illyricum, Brutus takes over Apuleius' money and the legions there, gains a Thracian prince's treasure, and then besieges Xanthus in Lycia; the Xanthians fight to the last, and when the city falls they kill their families and themselves rather than submit, as they had twice before. Patara surrenders and pays its gold; Myra yields to Lentulus. Brutus gathers the Lycian fleet at Abydos. Murcus, hearing that Cleopatra's fleet has been wrecked, blockades Brundisium against Antony's crossings.

75 τὰ δ' ἀμφὶ Λυκίαν καὶ Βροῦτον, μικρὰ καὶ τῶν
the(-affairs) and around Lycia and Brutus small(-things) also of-the(-things)
ἀμφὶ τοῦτον ἐς ὑπόμνησιν ἀναλαβόντι ἄνωθεν, ἦν
around this for reminder for-(me)-resuming from-the-beginning were
τοιάδε. ἐπειδὴ παρὰ Ἀπουληίου στρατιάν τέ τινα εἰλήφει,
such when from Apuleius army both some he-had-received
ὅσην Ἀπουλήιος εἶχεν, καὶ χρήματα ἐς ἑξακισχίλια καὶ
as-much-as Apuleius had and money to six-thousand and
μύρια τάλαντα, ὅσα ἐκ τῶν φόρων τῆς Ἀσίας
ten-thousand talents as-much-as from the tributes — of-Asia
συνείλεκτο, παρῆλθεν ἐς Βοιωτίαν. ψηφισαμένης δὲ αὐτῷ
had-been-collected he-went to Boeotia having-voted and to-him
τῆς βουλῆς τοῖς τε χρήμασιν ἐς τὰ παρόντα χρῆσθαι καὶ
the senate the both money for the present(-needs) to-use and
Μακεδονίας ἄρχειν καὶ τῆς Ἰλλυρίδος ἐπὶ τῇ Μακεδονίᾳ,
Macedonia to-govern and — Illyricum besides — Macedonia
τὰ μὲν ἐν τοῖς Ἰλλυριοῖς τρία τέλη τοῦ στρατοῦ
the indeed in the Illyrians three legions of-the army
παραλαμβάνει, Οὐατινίου τοῦ πρότερον ἄρχοντος Ἰλλυριῶν
he-takes-over Vatinius the former governor of-Illyrians
παραδόντος, ἓν δὲ ἐκ Μακεδονίας ἀφείλετο Γάιον,
handing(-them)-over one and from Macedonia he-took-away-from Gaius

τὸν ἀδελφὸν Ἀντωνίου. τέσσαρα δὲ ἐπὶ τούτοις ἄλλα
the brother of-Antony four and besides these others
συναγαγὼν ὀκτὼ τὰ πάντα εἶχε, Γαΐῳ Καίσαρι τὰ πολλὰ
having-gathered eight the all he-had for-Gaius Caesar the most
αὐτῶν ἐστρατευμένα. εἶχε δὲ καὶ ἱππέων πλῆθος καὶ
of-them having-served he-had and also of-cavalry a-number and
ψιλοὺς καὶ τοξότας, καὶ τοὺς Μακεδόνας ἐπαινῶν ἐς τὸν
light-troops and archers and the Macedonians praising in the
Ἰταλικὸν ἤσκει τρόπον. ἀγείροντι δὲ αὐτῷ στρατὸν ἔτι καὶ
Italian he-trained manner gathering and for-him army still and
χρήματα συντυχία Θράκιος τοιάδε γίγνεται. Πολεμοκρατία,
money a-chance Thracian such happens Polemocratia
γυνή τινος τῶν βασιλίσκων, ἀναιρεθέντος αὐτῇ τοῦ ἀνδρὸς
wife of-one of-the princelings having-been-killed for-her the husband
ὑπὸ ἐχθρῶν δείσασα περὶ τῷ παιδὶ ἔτι ὄντι μειρακίῳ,
by enemies having-feared for the son still being a-stripling
ἦκεν αὐτὸν φέρουσα καὶ ἐνεχείρισε Βρούτῳ, ἐνεχείρισε δὲ
came him carrying and entrusted(-him) to-Brutus entrusted and
καὶ τοὺς τοῦ ἀνδρὸς θησαυρούς. ὁ δὲ τὸν μὲν παῖδα
also the of-the husband treasures he and the indeed boy
Κυζικηνοῖς ἀνατρέφειν παρέδωκε, μέχρι σχολάσειεν ἐπὶ
to-Cyzicenes to-bring-up handed-over until he-should-have-leisure to
τὴν βασιλείαν καταγαγεῖν, ἐν δὲ τοῖς θησαυροῖς εὗρε
the kingdom to-restore(-him) in and the treasures he-found
παράδοξον χρυσίου τι πλῆθος καὶ ἀργύρου.
an-unexpected of-gold some amount and of-silver
καὶ τοῦτο μὲν ἔκοπτε καὶ νόμισμα ἐποίει· ὡς δὲ ἦλθέ τε 76
and this indeed he-struck and coin made when and came both
ὁ Κάσσιος καὶ ἔδοξε Λυκίους καὶ Ῥοδίους προεξαιρεῖν,
— Cassius and it-seemed(-best) Lycians and Rhodians to-take-out-first
ἐτράπετο Λυκίων ἐπὶ Ξανθίους πρώτους. οἱ δὲ τά τε
he-turned of-Lycians against Xanthians first they and the both

προάστεια σφῶν καθεῖλον, ἵνα μὴ ἐς κατάλυσιν αὐτοῖς
suburbs their pulled-down so-that not for lodging to-them
ὁ Βροῦτος μηδ' ἐς ὕλην ἔχῃ χρῆσθαι, καὶ τὴν πόλιν
— Brutus nor for timber might-have to-use and the city
περιταφρεύσαντες ἀπεμάχοντο ἀπὸ τῆς τάφρου, τὸ μὲν
having-ditched-round fought-off from the ditch the indeed
βάθος οὔσης πεντήκοντα ποδῶν βαθυτέρας, τὸ δὲ πλάτος
depth being fifty feet deeper the and width
κατὰ λόγον τοῦ βάθους, ὥστε παρ' αὐτὴν ἑστῶτες
in proportion to-the depth so-that by it standing
ἠκόντιζόν τε καὶ ἐτόξευον ὥσπερ ἐν μέσῳ ποταμὸν
they-threw-javelins both and shot-arrows as-if in middle a-river
ἔχοντες ἀπέρατον. ὁ δὲ Βροῦτος αὐτὴν ἔχου βιαζόμενος
having uncrossable — and Brutus it was-filling-up forcing(-it)
καὶ σκεπαστήρια τῶν ἐργαζομένων προυτίθει καὶ τὸν
and shelters for-the(-men) working set-up and the
στρατὸν ἐς ἡμέραν καὶ νύκτα ἐμέριζε, καὶ τὴν ὕλην
army into day and night divided and the timber
μακρόθεν, ὥσπερ ἐν τοῖς ἀγῶσι, σὺν δρόμῳ καὶ βοῇ
from-afar as in the contests with running and shouting
μετέφερεν, οὐδὲν ἐκλείπων σπουδῆς καὶ πόνου. ὅθεν αὐτῷ τὸ
brought-across nothing omitting of-zeal and of-toil whence for-him the
ἔργον ἐλπισθὲν ἢ οὐκ ἔσεσθαι κωλυόντων τῶν πολεμίων
work hoped either not to-be-going-to-be preventing the enemies
ἢ πολλοῖς μησὶ μόλις ἔσεσθαι, ὀλίγαις ἡμέραις
or in-many months with-difficulty to-be-going-to-be in-few days
ἐξείργαστο, καὶ οἱ Ξάνθιοι κατακλεισθέντες ἐπολιορκοῦντο.
had-been-done and the Xanthians shut-in were-besieged
77 καὶ αὐτοῖς ὁ Βροῦτος τοὺς μὲν ἐκ μηχανημάτων εἰς
and them — Brutus some indeed from engines against
τὰ τείχη, τοὺς δὲ ἐκ ποδὸς ἐπῆγεν ἐπὶ τὰς πύλας
the walls others and on foot led-on against the gates

καὶ πάντας ἐνήλλασσε συνεχῶς. οἱ δὲ ἀκμῆσιν αἰεὶ
and all he-relieved continually they and with-fresh(-men) always
κεκμηκότες συμφερόμενοι καὶ τετρωμένοι πάντες, ὅμως
being-tired engaging and wounded all nevertheless
ὑπέμενον, ἕως σφίσιν αἱ ἐπάλξεις διέμενον. ὡς δὲ καὶ
held-out as-long-as for-them the battlements remained when and also
αὗται κατεσύρησαν καὶ οἱ πύργοι διερρώγεσαν, ὑποτοπήσας
these were-pulled-down and the towers were-broken-through having-suspected
τὸ ἐσόμενον ὁ Βροῦτος ἐκέλευσε τὰς ἐφέδρους τῶν
the(-thing) going-to-be — Brutus ordered the reserve of-the
πυλῶν τάξεις ἀποστῆναι· καὶ οἱ Ξάνθιοι νομίσαντες
gates companies to-stand-off and the Xanthians thinking
ἀφυλαξίαν καὶ ἀμέλειαν εἶναι νυκτὸς ἐξέδραμον μετὰ
negligence and carelessness to-be by-night ran-out with
λαμπάδων ἐπὶ τὰ μηχανήματα. ταχὺ δὲ ἐκ συνθήματος
torches against the engines quickly and from signal
αὐτοῖς τῶν Ῥωμαίων ἐπιδραμόντων, συνέφευγον αὖθις ἐς
at-them the Romans having-charged they-fled-together again to
τὰς πύλας· καὶ τῶν φυλάκων αὐτὰς προαποκλεισάντων
the gates and the guards them having-shut-first
ὑπὸ δέους, μὴ συνεσπέσοιεν οἱ πολέμιοι, φθόρος ἦν
from fear lest might-rush-in-with(-them) the enemies slaughter was
Ξανθίων πολὺς ἀμφὶ ταῖς πύλαις ἀποκεκλεισμένων.
of-Xanthians great around the gates being-shut-out
οὐ πολὺ δὲ ὕστερον ἐξέδραμον αὖθις οἱ λοιποὶ περὶ 78
not long and later ran-out again the remaining(-men) about
μεσημβρίαν, ἀναχωρούσης πάλιν τῆς τάξεως, καὶ ἐνέπρησαν
midday withdrawing again the company and burned
τὰ μηχανήματα ἅπαντα ἀθρόως. πεπετασμένων δ' αὐτοῖς
the engines all at-once having-been-thrown-open and for-them
τῶν πυλῶν διὰ τὸ πρότερον πάθος, συνεισέπεσον ἀμφὶ
the gates because-of the former disaster burst-in-with(-them) about

δισχιλίους μάλιστα Ῥωμαίων. καὶ ἑτέροις δὲ εἰσωθιζομένοις
two-thousand roughly of-Romans and on-others and pushing-in
ἀμφὶ τὴν εἴσοδον ἐπέπεσον αἰφνίδιον αἱ πύλαι, εἴθ'
about the entrance fell suddenly the gates whether
ὑπό του Ξανθίων εἴτε καὶ αὐτομάτως τῶν χαλαστηρίων
by some of-Xanthians or even of-themselves the ropes
διαρραγέντων, ὥστε τῶν ἐσβιασαμένων Ῥωμαίων τοὺς
having-broken so-that of-the having-forced-in Romans some
μὲν ἀπολέσθαι, τοὺς δὲ ἔνδον ἀποληφθῆναι, τὰς πύλας
indeed to-perish others and inside to-be-cut-off the gates
οὐ δυναμένους ἔτι ἀνασπάσαι, χωρὶς ἀνασπαστηρίων
not being-able any-longer to-draw-up without pulleys
γενομένας. βαλλόμενοι δ' ἐν τοῖς στενωποῖς ἄνωθεν
having-become being-pelted and in the narrow-streets from-above
ὑπὸ τῶν Ξανθίων, βιασάμενοί ποτε μόλις ἐς τὴν
by the Xanthians having-forced-through at-length with-difficulty to the
ἀγορὰν ἐγγὺς οὖσαν διέδραμον· κἀνταῦθα τῶν μὲν
forum near being ran-through and-there the(-men) indeed
συμπλεκομένων σφίσι κρατοῦντες, τοξευόμενοι δὲ χαλεπῶς
engaging them overcoming being-shot-at but grievously
καὶ οὐδὲν ἔχοντες αὐτοὶ τόξον ἢ ἀκόντιον, παρὰ τὸ
and nothing having themselves bow or javelin to —
Σαρπηδόνειον, ἵνα μὴ κυκλωθεῖεν, διέδραμον. οἱ δ'
Sarpedoneum so-that not they-might-be-surrounded ran the and
ἔξω τείχους Ῥωμαῖοι περὶ τῶν ἔνδον ἀγανακτοῦντές
outside wall Romans about the(-men) inside being-indignant
τε καὶ δεδιότες, Βρούτου περιθέοντος αὐτούς, ἐς πᾶσαν
both and fearing Brutus running-round them into every
ἐμερίζοντο πεῖραν, οὔτε τὰς πύλας δυνάμενοι ῥῆξαι σιδήρῳ
were-divided attempt neither the gates being-able to-break with-iron
περιβεβλημένας, οὔτε κλιμάκων ἢ πύργων ἐμπεπρησμένων
plated nor ladders or towers burned

εὐποροῦντες. ἀλλ᾽ οἱ μὲν ἐσχεδίαζον κλίμακας, οἱ
having-plenty but some indeed improvised ladders others
δὲ κεραίας τοῖς τείχεσι προστιθέντες ὡς διὰ κλιμάκων
and spars to-the walls setting-up as by ladders
ἐπεχείρουν, οἱ δὲ καὶ σιδήρια ὀξέα καλωδίοις περιτιθέντες
attempted others and also irons sharp to-ropes fastening
ἐσφενδόνων τὰ σιδήρια ἐς τὸ τεῖχος ἄνω καί, ὅτε
slung the irons into the wall above and when
καταπαγείη τινὰ αὐτῶν, ἑαυτοὺς ἀνίμων.
should-stick some of-them themselves drew-up
Οἰνοανδεῖς δὲ γείτονες, διὰ τὴν ἐς τοὺς Ξανθίους 79
Oenoandians and neighbors because-of the toward the Xanthians
ἔχθραν τῷ Βρούτῳ συμμαχοῦντες, διὰ τῶν κρημνῶν
enmity — with-Brutus allying through the cliffs
ἐπετροβάτουν ἄνω· καὶ αὐτοὺς ἰδόντες οἱ Ῥωμαῖοι ἐμιμοῦντο
climbed up and them having-seen the Romans imitated(-them)
ἐπιμόχθως. καὶ πολλοὶ μὲν ἐξέπιπτον, εἰσὶ δ᾽ οἳ τὸ
toilsomely and many indeed fell-off there-are and who the
τεῖχος ὑπερβάντες καὶ πυλίδα ἀνέῳξαν, ἣ προεσταύρωτο
wall having-crossed also a-postern opened which had-been-staked-in-front
πυκνοτάτοις σταυροῖς, καὶ τοὺς εὐτολμοτάτους αἰωρουμένους
with-thickest stakes and the most-daring swinging
ὑπὲρ τὰ σταυρώματα ἐσεδέχοντο. καὶ πλείους γενόμενοι
over the palisades received and more having-become
τὰς πύλας ἔκοπτον, οὐ περιβεβλημένας ἔτι τῷ
the gates hewed not plated any-longer with-the
σιδήρῳ τὰ ἐντός, ἀντικοπτόντων αὐτοῖς ἅμα
iron the(-parts) inside hewing-against them together-with
ἔξωθεν ἑτέρων ἐς τὸ αὐτὸ καὶ συνεργούντων. Ξανθίων δὲ
from-outside others at the same and working-together Xanthians and
σὺν μεγάλῃ πάνυ βοῇ τοῖς ἀμφὶ τὸ Σαρπηδόνειον οὖσι
with great very shouting on-the around — Sarpedoneum being

Ῥωμαίοις ἐπιθεόντων, δείσαντες ὑπὲρ αὐτῶν, ὅσοι περὶ
Romans running-at fearing for them as-many-as at
τὰς πύλας ἔνδοθέν τε καὶ ἔξωθεν αὐτὰς ἔκοπτον, ὑπὸ
the gates from-inside both and from-outside them hewed by
μανιώδους ὁρμῆς ἐβιάζοντο καὶ διαρρήξαντες ἐσέδραμον
frenzied impulse forced and having-broken-through rushed-in
ἀθρόοι, δύνοντος ἄρτι τοῦ θεοῦ, μετὰ ἀλαλαγῆς, ἵνα
all-together setting just-now the god with war-cry so-that
σύμβολον εἴη τοῖς ἐντὸς οὖσιν.
a-signal it-might-be to-the(-men) inside being
80 ἁλούσης δὲ τῆς πόλεως οἱ Ξάνθιοι ἐς τὰς οἰκίας
having-been-taken and the city the Xanthians to the houses
συνέτρεχον καὶ τὰ φίλτατα σφῶν κατέκαινον, ἑκόντα τὴν
ran-together and the dearest of-them killed willingly the
σφαγὴν ὑπέχοντα. οἰμωγῆς δὲ γιγνομένης ὁ Βροῦτος
slaughter submitting-to wailing and arising — Brutus
νομίσας ἁρπαγὴν εἶναι τὸν στρατὸν ἀνεῖργε διὰ
having-thought plunder to-be the army restrained through
κηρύκων· ὡς δὲ ἔγνω τὸ γιγνόμενον, ᾤκτειρεν
heralds when and he-learned the(-thing) happening he-pitied
ἀνδρῶν φρόνημα φιλελεύθερον καὶ σπονδὰς περιέπεμπεν.
of-men spirit freedom-loving and truces sent-round
οἱ δὲ καὶ τοὺς φέροντας ἔβαλλον καὶ τὰ σφέτερα πάντα
they and even the(-men) bearing(-them) pelted and the their-own all
ἀνελόντες ἐς πυρὰς προνενημένας ἐν ταῖς οἰκίαις ἐπέθεσαν
having-taken-up on pyres heaped-before in the houses placed
καὶ τὸ πῦρ ἅψαντες ἑαυτοὺς ἐπικατέσφαξαν. Βροῦτος δὲ
and the fire having-lit themselves slew-upon(-them) Brutus and
τῶν ἱερῶν περισώσας ὅσα ἐδύνατο, μόνους θεράποντας
of-the temples having-saved as-many-as he-could only servants
εἶλε Ξανθίων καὶ ἐκ τῶν ἀνδρῶν γύναια ὀλίγα ἐλεύθερα
took of-Xanthians and of the men women few free

καὶ ἄνδρας οὐδὲ ἐς ἑκατὸν καὶ πεντήκοντα πάντας.
and men not-even to a-hundred and fifty all
Ξάνθιοι μὲν δὴ τρίτον ὑπὸ σφῶν αὐτῶν ἀπώλλυντο
Xanthians indeed indeed for-a-third(-time) by them- -selves perished
ἐλευθερίας οὕνεκα. καὶ γὰρ ἐπὶ Ἁρπάγου τοῦ Μήδου, Κύρῳ
of-freedom for-the-sake and for under Harpagus the Mede for-Cyrus
τῷ μεγάλῳ στρατηγοῦντος, ὧδε σφᾶς ἀντὶ δουλοσύνης
the great being-general thus themselves instead-of slavery
διέφθειραν, καὶ τάφος Ξανθίοις ἡ πόλις ἀνειληθεῖσιν
destroyed and tomb for-Xanthians the city being-pressed-in
ὑπὸ Ἁρπάγου τότε ἐγένετο· καὶ ἐπὶ Ἀλεξάνδρου τοῦ
by Harpagus then became and under Alexander the(-son)
Φιλίππου φασὶν ὅμοια παθεῖν, οὐχ ὑποστάντας οὐδὲ
of-Philip they-say like(-things) to-have-suffered not having-submitted not-even
Ἀλεξάνδρῳ μετὰ τοσῆσδε γῆς ἀρχὴν ὑπακοῦσαι.
to-Alexander after so-great of-land rule to-obey
Βροῦτος δὲ ἐς Πάταρα ἀπὸ Ξάνθου κατῄει, πόλιν ἐοικυῖαν 81
Brutus and to Patara from Xanthus went-down a-city resembling
ἐπινείῳ Ξανθίων, καὶ περιστήσας αὐτοῖς τὸν στρατὸν
a-port of-Xanthians and having-set-round them the army
ἐκέλευσεν ἐς πάντα ὑπακούειν ἢ τὰς Ξανθίων συμφορὰς
ordered in everything to-obey or the of-Xanthians misfortunes
προσδέχεσθαι· προσήγοντό τε αὐτοῖς οἱ Ξάνθιοι ὀδυρόμενοι
to-await were-brought-forward both to-them the Xanthians lamenting
τὰ σφέτερα καὶ παραινοῦντες ἀμείνονα βουλεύσασθαι.
the their-own(-fate) and advising better to-plan
Ξανθίοις δὲ οὐδὲν ἀποκριναμένων πω τῶν Παταρέων, ἐδίδου
to-Xanthians but nothing having-answered yet the Patareans he-gave
τὸ λοιπὸν αὐτοῖς τῆς ἡμέρας ἐς σκέψιν καὶ ἀνεχώρει.
the rest to-them of-the day for consideration and withdrew
ἅμα δὲ ἡμέρᾳ προσῆγεν. οἱ δὲ ἀπό τε τῶν τειχῶν
together-with and day he-advanced they and from both the walls

ἐβόων ὑπακούειν, ἐς ὅ τι βούλοιτο, καὶ τὰς πύλας
shouted to-obey in what (thing) he-wished and the gates
ἀνεῴγνυον. ὁ δ' ἐσελθὼν ἔκτεινε μὲν οὐδένα οὐδ' ἐξήλασε,
opened he and having-entered killed indeed no-one nor drove-out
χρυσὸν δὲ καὶ ἄργυρον, ὅσον ἡ πόλις εἶχε, συνενεγκὼν
gold but and silver as-much-as the city had having-collected
ἐκέλευε καὶ τὸν ἰδιωτικὸν ἑκάστους ἐσφέρειν ὑπὸ ζημίαις
ordered also the private each to-bring-in under penalties
καὶ μηνύμασιν, οἷοις καὶ Κάσσιος ἐκήρυξεν ἐν Ῥόδῳ. καὶ οἱ
and informations such-as also Cassius proclaimed in Rhodes and they
μὲν ἐσέφερον, θεράπων δὲ τὸν δεσπότην ἐμήνυσε χρυσίον
indeed brought-in a-servant and the master informed-on gold
κρύψαι καὶ πεμφθέντι λοχαγῷ τὸ χρυσίον ἔδειξεν.
to-have-hidden and to-(the)-sent centurion the gold showed
ἀγομένων δὲ ἁπάντων ὁ μὲν δεσπότης ἐσιώπα, ἡ δὲ
being-led and all the indeed master was-silent the and
ἐκείνου μήτηρ περισῴζουσα τὸν υἱὸν εἵπετο, βοῶσα αὐτὴ
of-him mother saving the son followed shouting herself
τὸ χρυσίον κρύψαι. ὁ δὲ οἰκέτης, οὐδὲ ἀνερωτώμενος,
the gold to-have-hidden the and slave not-even being-asked
with-the(-part) but the roads of-the transport of-the necessaries
διελάμβανε. λόφος δὲ ἦν ἀγχοτάτω τοῦ Κασσίου
intercepted a-hill and was nearest the of-Cassius
στρατοπέδου, δυσχερὴς μὲν ὑπὸ ἐχθρῶν καταληφθῆναι,
camp difficult indeed by enemies to-be-seized
διὰ τὴν ἐγγύτητα ἐστοξεύεσθαι δυναμένων· ὁ δὲ Κάσσιος
because-of the nearness to-be-shot-at being-able(-men) — but Cassius
αὐτὸν ὅμως ἐφρούρει, μὴ καὶ παρὰ δόξαν ἐπιτολμήσειέ
it nevertheless guarded lest even against expectation might-dare
τις. ἐκλειφθέντα δὲ ὑπὸ τοῦ Βρούτου κατέλαβον οἱ
anyone having-been-abandoned and by — Brutus seized(-it) the(-men)
περὶ τὸν Καίσαρα νυκτὸς τέτρασι τέλεσιν, ἐπαγόμενοι
around — Caesar by-night with-four legions bringing
γέρρα πολλὰ καὶ διφθέρας ἐς προβολὴν τοῖς τοξεύμασιν.
wicker-shields many and hides for protection against-the arrows
ὡς δὲ κατέσχον, ἄλλα τέλη δέκα μετεστρατοπέδευον ὑπὲρ
when and they-held(-it) other legions ten moved-camp beyond
πέντε σταδίους ἀπιοῦσιν ἐπὶ τὴν θάλασσαν καὶ ὑπὲρ
five stades going toward the sea and beyond
ἄλλους τέσσαρας δύο, ὡς τῷδε τῷ τρόπῳ προελευσόμενοι
other four two so-that in-this the manner going-to-advance
μέχρι θαλάσσης καὶ ἢ παρ' αὐτὴν ἄρα τὴν θάλασσαν
as-far-as the-sea and either along itself then the sea
ἢ διὰ τῶν ἑλῶν ἢ ὅν τινα τρόπον ἄλλον ἐπενόουν,
or through the marshes or in-whatever some way other they-planned
βιασόμενοι καὶ τὴν ἀγορὰν ἀποκλείσοντες τῶν πολεμίων.
going-to-force(-a-way) and the provisions going-to-shut-off of-the enemies

καὶ ὁ Βροῦτος αὐτοῖς ἀντεμηχανᾶτο, ἄλλα τε καὶ
and — Brutus against-them counter-contrived other(-things) both and
φρούρια ἀντικαθιστὰς τοῖς ἐκείνων στρατοπέδοις.
forts setting-against the their camps
τὸ δὲ ἔργον ἤπειγε τοὺς ἀμφὶ τὸν Καίσαρα, καὶ λιμὸς 122
the and task pressed the(-men) around — Caesar and famine
ἦν ἤδη σαφής, ἔς τε μέγεθος καὶ δέος ἑκάστης ἡμέρας
was already plain in both size and fear each day
ἐπεγίνετο. οὔτε γὰρ ἐκ Θεσσαλίας αὐτοῖς ἔτι τὰ
came-on neither for from Thessaly for-them any-longer the
ἀρκοῦντα ἐκομίζετο, οὔτε τις ἦν ἐλπὶς ἐκ θαλάσσης,
sufficient(-supplies) were-brought nor any was hope from sea
ναυκρατούντων πανταχῇ τῶν πολεμίων· τῆς τε ἔναγχος
being-masters-at-sea everywhere the enemies of-the and recent
περὶ τὸν Ἰόνιον συμφορᾶς ἐξηγγελμένης ἐς ἑκατέρους ἤδη,
about the Ionian disaster having-been-reported to both already
μᾶλλον ἐδεδοίκεσαν αὐτά τε καὶ τὸν χειμῶνα προσιόντα
more they-feared these-things both and the winter approaching
ὡς ἐν πεδίῳ πηλώδει σταθμεύοντες. ὧν ἐνθυμούμενοι
as in a-plain muddy quartering which reflecting-on
τέλος μὲν ὁπλιτῶν ἐς Ἀχαΐαν ἐξέπεμψαν, ἀγείρειν
a-legion indeed of-heavy-infantry to Achaea they-sent-out to-gather
τὰ ἐντυγχάνοντα πάντα καὶ πέμπειν σφίσι κατὰ
the(-things) found all and to-send to-them in
σπουδήν. οὐκ ἀνεχόμενοι δὲ κινδύνου τοσοῦδε προσιόντος
haste not enduring but danger so-great approaching
οὔτε τῶν ἄλλων ἐπιτεχνήσεων οὔτε ἐν τῷ πεδίῳ λοιπὸν
neither the other contrivances nor in the plain any-longer
ἐκτάσσειν, παρὰ τὸ τείχισμα τῶν ἐχθρῶν ἀνέβαινον μετὰ
to-draw-up by the fortification of-the enemies they-went-up with
βοῆς καὶ τὸν Βροῦτον ἐκάλουν ἐς μάχην, ἐπισκώπτοντες
shouting and — Brutus challenged to battle mocking

ἅμα καὶ λοιδοροῦντες καὶ ἐγνωκότες οὐ πολιορκίας τρόπῳ
at-once and reviling and having-decided not siege's manner
μᾶλλον ἢ μανιώδει φορᾷ μὴ βουλομένῳ συμπλέκεσθαι.
rather than with-frenzied rush not (him)-wishing to-close
123 τῷ δὲ αὐτῷ μὲν ἔγνωστο τὰ ἀπ' ἀρχῆς, καὶ
to-him and himself indeed had-been-decided the(-things) from beginning and
μᾶλλον ἔτι πυνθανομένῳ περί τε τοῦ λιμοῦ καὶ περὶ τῆς
more still learning about both the famine and about the
κατὰ τὸν Ἰόνιον εὐπραξίας καὶ τῶν πολεμίων ὁρῶντι
at the Ionian success and of-the enemies seeing
τὴν ἐκ τῆς ἀπορίας ἀπόνοιαν· καὶ ᾑρεῖτο πολιορκίας
the from the want desperation and he-chose siege
καὶ ἄλλου παντὸς ἀνέχεσθαι, μᾶλλον ἢ ἐς χεῖρας ἰέναι
and other every(-thing) to-endure rather than to hands to-come
ἀνδράσιν ἐπειγομένοις ὑπὸ λιμοῦ, καὶ ἀπογινώσκουσιν ἐκ
with-men pressed by famine and despairing from
τῶν ἄλλων ἑαυτοὺς καὶ ἐν μόναις ταῖς χερσὶ τὴν ἐλπίδα
the other(-means) themselves and in only the hands the hope
ἔχουσιν. ὁ δὲ στρατὸς οὐχ ὁμοίως εἶχεν ὑπὸ ἀφροσύνης,
having the and army not likewise was-disposed from folly
ἀλλ' ἐδυσφόρουν γυναικῶν τρόπον ἔνδον μετὰ ἀπραξίας
but were-discontented of-women in-the-manner inside with inaction
καὶ φόβου κατακεκλεισμένοι. ἐδυσχέραινον δὲ καὶ οἱ
and fear shut-up were-vexed and also the
ἡγεμόνες αὐτῶν, ἐπαινοῦντες μὲν τὸ ἐνθύμημα τοῦ Βρούτου,
leaders of-them praising indeed the reasoning — of-Brutus
νομίζοντες δὲ καὶ θᾶσσον ἐπικρατήσειν τῶν πολεμίων
thinking but also sooner to-be-going-to-prevail-over the enemies
μετὰ προθύμου στρατοῦ. αἴτιον δὲ τούτων ἦν αὐτὸ
with eager army cause and of-these was itself
τὸ Βροῦτον ἐπιεικῆ καὶ φιλόφρονα ἐς ἅπαντας εἶναι
the(-fact) Brutus mild and kindly toward all to-be

καὶ ἀνόμοιον Κασσίῳ, αὐστηρῷ καὶ ἀρχικῷ περὶ πάντα
and unlike Cassius severe and imperious in all
γεγενημένῳ· ὅθεν ἐκείνῳ μὲν ἐξ ἐπιτάγματος ὑπήκουον,
having-been whence him indeed by command they-obeyed
οὐ παραστρατηγοῦντες οὐδὲ τὰς αἰτίας μανθάνοντες οὐδὲ
not sharing-command nor the reasons learning nor
εὐθύνοντες, ὅτε καὶ μάθοιεν, Βρούτῳ δὲ οὐδὲν ἄλλ' ἢ
calling-to-account when also they-learned to-Brutus but nothing other than
συστρατηγεῖν ἠξίουν διὰ πραΰτητα. τέλος δὲ τοῦ
to-share-the-command they-thought-fit because-of gentleness finally and the
στρατοῦ φανερώτερον ἤδη κατὰ ἴλας καὶ κατὰ συστάσεις
army more-openly already by squadrons and by groups
διαπυνθανομένου· "τί κατέγνωκεν ἡμῶν ὁ στρατηγός; τί
inquiring what has-condemned of-us the general what
ἔναγχος ἡμάρτομεν οἱ νικήσαντες, οἱ διώξαντες, οἱ τοὺς
lately did-we-err we having-conquered we having-pursued we the
καθ' ἡμᾶς πολεμίους κατακανόντες, οἱ τὸ στρατόπεδον
opposite us enemies having-killed we the camp
αὐτῶν ἑλόντες"; Βροῦτος ἑκὼν ἠμέλει καὶ ἐς ἐκκλησίαν
of-them having-taken Brutus willingly disregarded(-it) and to assembly
οὐ συνῆγε, μὴ ἀπρεπέστερον ὑπὸ τοῦ πλήθους ἀλογίστως
not gathered(-them) lest more-unseemly by the multitude irrationally
ἐκβιασθείη, καὶ μάλιστα μισθοφόρων, οἷς ἐστιν αἰεί,
he-be-forced and most of-mercenaries for-whom is always
καθὰ καὶ τοῖς εὐχερέσιν οἰκέταις ἐς ἑτέρους δεσπότας,
as also for-the easy-going household-slaves to other masters
ἐλπὶς ἐς σωτηρίαν ἡ ἐς τὸ ἀντίπαλον μεταβολή.
hope for safety the to the opposite change
ἐνοχλούντων δὲ αὐτῷ καὶ τῶν ἡγεμόνων καὶ κελευόντων νῦν 124
troubling and him also the leaders and urging now
μὲν ἀποχρήσασθαι τοῦ στρατοῦ τῇ προθυμίᾳ, τάχα τι
indeed to-make-use of-the army the eagerness perhaps something

λαμπρὸν ἐργασομένου, ἢν δ' ἀντιπίπτῃ τι παρὰ τὴν
brilliant going-to-accomplish if but should-fall-out anything during the
μάχην, ἐπανιέναι πάλιν ἐς τὰ τείχη καὶ προβάλλεσθαι τὰ
battle to-return again to the walls and to-put-before(-them) the
αὐτὰ χαρακώματα, χαλεπήνας ὁ Βροῦτος τοῖσδε μάλιστα
same palisades having-been-angered — Brutus with-these most
ἡγεμόσιν οὖσι καὶ περιαλγήσας, ὅτι τὸν αὐτόν οἱ κίνδυνον
leaders being and having-been-pained that the same for-him danger
ἐπικείμενοι συμφέρονται τῷ στρατῷ κουφόνως, ἀμφίβολον
being-exposed-to they-go-along with-the army light-mindedly doubtful
καὶ ὀξεῖαν τύχην προτιθέντι νίκης ἀκινδύνου, εἶξεν ἐπ'
and sharp fortune preferring than-victory without-danger yielded to
οἰκείῳ καὶ σφῶν ἐκείνων ὀλέθρῳ, τοσόνδε ἐπιμεμψάμενος
own and of-them those destruction so-much having-reproached
αὐτοῖς· "ἐοίκαμεν ὡς Πομπήιος Μάγνος πολεμήσειν,
them we-seem as Pompey Magnus to-be-going-to-fight
οὐ στρατηγοῦντες ἔτι μᾶλλον ἢ στρατηγούμενοι".
not commanding any-longer rather than being-commanded
καί μοι δοκεῖ τόδε μόνον ἐξειπεῖν, ἐπικρύπτων, ὃ
and to-me he-seems this only to-have-spoken-out hiding what
ἐδεδοίκει μάλιστα, μὴ ὁ στρατὸς οἷα τοῦ πάλαι Καίσαρος
he-had-feared most lest the army as of-the former Caesar
γεγονὼς ἀγανακτήσειέ τε καὶ μεταβάλοιτο· ὅπερ ἐξ
having-been should-be-indignant both and change-sides which-very from
ἀρχῆς αὐτός τε καὶ Κάσσιος ὑφορώμενοι ἐς οὐδὲν ἔργον
beginning himself both and Cassius suspecting for no deed
αὐτοῖς πρόφασιν ἀγανακτήσεως ἐπὶ σφίσιν ἐνεδίδουν.
to-them pretext of-indignation against themselves gave
125 ὧδε μὲν δὴ καὶ ὁ Βροῦτος ἐξῆγεν ἄκων καὶ ἐς τάξεις
thus indeed indeed also — Brutus led-out unwilling and into ranks
διεκόσμει πρὸ τοῦ τείχους καὶ ἐδίδασκε μὴ πολὺ προύχειν
drew-up before the wall and instructed not far to-project

τοῦ λόφου, ἵνα αὐτοῖς ἥ τε ἀναχώρησις, εἰ δεήσειεν,
from-the hill so-that for-them the both retreat if it-should-be-needful
εὐχερὴς εἴη καὶ τὰ ἐς τοὺς πολεμίους ἀφιέμενα
easy might-be and the(-missiles) against the enemies thrown
ἐπιδέξια. ἦν δὲ ἑκατέρωθεν παρακέλευσίς τε πάντων
favorable there-was and on-both-sides exhortation both of-all
ἐς ἀλλήλους καὶ φρόνημα ἐπὶ τῷ ἔργῳ μέγα καὶ θρασύτης
to one-another and spirit for the work great and boldness
ὑπὲρ λόγον ἀναγκαῖον, τοῖς μὲν ὑπὸ δέους λιμοῦ,
beyond reason necessary for-the(-ones) indeed from fear of-famine
τοῖς δὲ ὑπὸ αἰδοῦς δικαίας, βιασαμένοις τὸν στρατηγὸν
for-the(-others) and from shame just having-forced the general
ἀναβαλλόμενον ἔτι, μὴ χείροσιν ὦν ὑπέσχοντο ὀφθῆναι
delaying still not worse than-what they-promised to-be-seen
μηδὲ ἀσθενεστέροις ὧν ἐθρασύνοντο, μηδὲ προπετείας
nor weaker than-what they-boasted nor of-rashness
ὑπευθύνοις μᾶλλον ἢ ἀξιεπαίνοις εὐβουλίας. ἃ καὶ ὁ
liable rather than praiseworthy of-good-counsel which also —
Βροῦτος αὐτοῖς, ἐπὶ ἵππου περιθέων, σοβαρῷ τῷ προσώπῳ
Brutus to-them on horse riding-round with-haughty the face
προενέφαινε καὶ δι' ὀλίγων ὑπεμίμνησκεν, ὅσων ὁ
displayed and in few(-words) reminded(-them) of-as-much-as the
καιρὸς ἐδίδου· "ὑμεῖς ἠθελήσατε μάχεσθαι, ὑμεῖς με ἑτέρως
occasion allowed you wished to-fight you me otherwise
ἔχοντα νικᾶν ἐβιάσασθε· μὴ δὲ ψεύσησθε τῆς ἐλπίδος
being-disposed to-conquer forced not and disappoint the hope
μήτε ἐμὲ μήτε αὐτούς. ἔχετε καὶ λόφον σύμμαχον καὶ
neither me nor yourselves you-have also a-hill as-ally and
τὰ κατὰ νώτου πάντα ἴδια. οἱ πολέμιοι δ' εἰσὶν ἐν
the(-parts) at back all own the enemies but are in
ἀμφιβόλῳ· μεταξὺ γάρ εἰσιν ὑμῶν τε καὶ λιμοῦ".
doubtful(-plight) between for they-are you both and famine

126 ὁ μὲν τοιαῦτα λέγων διετρόχαζε, καὶ αὐτὸν αἱ τάξεις
he indeed such(-things) saying ran-about and him the ranks
ἐπήλπιζον καὶ μετὰ βοῆς παρέπεμπον εὐφήμου· ὁ δὲ
encouraged and with shouting escorted auspicious — and
Καῖσαρ καὶ ὁ Ἀντώνιος τοὺς ἰδίους περιθέοντες τήν τε
Caesar and — Antony the own(-men) running-round the both
δεξιὰν ὤρεγον, ἐφ' οὓς παραγένοιντο, καὶ σοβαρώτερον
right-hand stretched-out to whom they-came and more-haughtily
ἔτι οἵδε ἐπέσπερχον αὐτοὺς καὶ τὸν λιμὸν οὐκ ἐπέκρυπτον
still these urged them and the famine not concealed
ὡς εὔκαιρον ἐς εὐτολμίαν προφέρειν. "εὕρομεν, ὦ ἄνδρες,
as opportune for daring to-allege we-found(-them) O men
τοὺς πολεμίους· ἔχομεν οὓς ἐζητοῦμεν ἔξω τείχους λαβεῖν.
the enemies we-have whom we-sought outside the-wall to-catch
μὴ δή τις ὑμῶν τὴν ἰδίαν πρόκλησιν καταισχύνῃ
not indeed anyone of-you the own challenge shame
μηδὲ τῆς ἀπειλῆς ἐλάττων γένηται· μηδὲ λιμόν, ὄλεθρον
nor than-the threat less become nor famine a-death
ἀμήχανόν τε καὶ ἐπώδυνον, ἕληται μᾶλλον ἢ πολεμίων
helpless both and painful choose rather than of-enemies
τείχη καὶ σώματα, ἃ καὶ τόλμαις ἐνδίδωσι καὶ σιδήρῳ
walls and bodies which also to-daring give-way and to-iron
καὶ ἀπονοίᾳ. ἔχει δὲ ἡμῖν ἐπείξεως ὧδε τὰ παρόντα,
and to-desperation it-holds and for-us of-urgency thus the present(-situation)
ὡς μηδὲν ἐς τὴν ἐπιοῦσαν ἡμέραν ἀνατίθεσθαι, ἀλλὰ
so-that nothing to the following day to-put-off but
σήμερον περὶ ἁπάντων διακριθῆναι μέχρι νίκης ἐντελοῦς ἢ
today about all to-be-decided until victory complete or
εὐγενοῦς θανάτου. νικῶσι δ' ἔστι λαβεῖν διὰ
noble death for-(men)-conquering and it-is-possible to-take through
μιᾶς ἡμέρας καὶ δι' ἑνὸς ἔργου τροφὰς καὶ χρήματα
one day and through one deed provisions and money

καὶ ναῦς καὶ στρατόπεδα καὶ τὰ νικητήρια παρ᾽ ἡμῶν.
and ships and camps and the prizes-of-victory from us
ἔσται δὲ ταῦτα, ἢν πρῶτον μὲν ἐμβάλλοντες αὐτοῖς
will-be and these-things if first indeed charging them
μνημονεύωμεν τῶν ἐπειγόντων, εἶτα παραρρήξαντες
we-remember the(-things) pressing then having-broken-through
εὐθὺς ἀποκλείωμεν ἀπὸ τῶν πυλῶν, ἐς δὲ τοὺς κρημνοὺς ἢ
at-once we-shut(-them)-off from the gates to and the cliffs or
τὰ πεδία περιωθῶμεν, ἵνα μὴ ὁ πόλεμος αὖθις ἀναφύοιτο
the plains we-push(-them) so-that not the war again might-spring-up
μηδὲ ἐς τὴν ἀργίαν πάλιν οἱ ἐχθροὶ διαδιδράσκοιεν, οἳ
nor to the idleness again the enemies might-run-off who
δι᾽ ἀσθένειαν, μόνοι δὴ πολεμίων, οὐκ ἐν τῷ μάχεσθαι
through weakness alone indeed of-enemies not in the fighting
τὰς ἐλπίδας ἔχουσιν, ἀλλ᾽ ἐν τῷ μὴ μάχεσθαι".
the hopes have but in the not fighting
οὕτω μὲν ὁ Καῖσαρ καὶ ὁ Ἀντώνιος παρώτρυνον, ἐφ᾽ 127
thus indeed — Caesar and — Antony urged-on to
οὓς παραγένοιντο. καὶ πᾶσιν ἦν αἰδὼς ἀξίοις τε φανῆναι
whom they-came and in-all was shame worthy both to-appear
τῶν στρατηγῶν καὶ τὴν ἀπορίαν ἐκφυγεῖν, ὑπεραυξηθεῖσαν
of-the generals and the want to-escape increased
ἐκ παραλόγου διὰ τὰ ἐν τῷ Ἰονίῳ γενόμενα.
beyond expectation because-of the(-things) in the Ionian having-happened
ᾑροῦντό τε ἐν ἔργῳ καὶ ἐν ἐλπίσιν, εἰ δέοι, τί
they-chose both in action and in hopes if it-should-be-needful something
παθεῖν μᾶλλον ἢ ὑπὸ ἀμηχάνου κακοῦ δαπανώμενοι.
to-suffer rather than by helpless evil being-consumed
ὧδε δὲ ἐχόντων αὐτῶν καὶ πρὸς τὸν ἐγγὺς αὐτὰ
thus and being-disposed they and to the(-man) near them
ἐκφέροντος ἑκάστου, ὁ θυμὸς ἀμφοτέρων ηὔξετο μάλιστα
uttering each the passion of-both grew most

καὶ ἐνεπίμπλαντο τόλμης ἀκαταπλήκτου· οὐδέν τε ἐν τῷ
and they-were-filled with-daring undaunted nothing and in the
παρόντι ἀλλήλων ὅτι ἦσαν πολῖται οὐδὲ ἐπεμέμνηντο,
present of-one-another that they-were fellow-citizens not-even remembered
ἀλλ' ὡς ἐκ φύσεως καὶ γένους ἐχθροῖς ἐπηπείλουν. οὕτως
but as from nature and race to-enemies they-threatened so
ἡ παραυτίκα ὀργὴ τὸν λογισμὸν αὐτοῖς καὶ τὴν φύσιν
the momentary anger the reasoning in-them and the nature
ἔσβεσεν. ἐπεμαντεύοντο δὲ ὁμαλῶς ἑκάτεροι τήνδε τὴν
quenched divined and alike each this the
ἡμέραν ἐν τῷδε τῷ ἔργῳ πάντα τὰ Ῥωμαίων πράγματα
day in this the deed all the of-Romans affairs
κρινεῖν. καὶ ἐκρίθη.
to-be-going-to-decide and it-was-decided

128 ἤδη δὲ τῆς ἡμέρας ἀμφὶ τήνδε τὴν παρασκευὴν ἐς
already and of-the day on this the preparation to
ἐνάτην ὥραν δεδαπανημένης αἰετοὶ δύο ἐς τὸ μεταίχμιον
the-ninth hour having-been-spent eagles two into the space-between
συμπεσόντες ἀλλήλοις ἐπολέμουν· καὶ ἦν σιγὴ βαθυτάτη.
having-fallen-upon one-another fought and was silence deepest
φυγόντος δὲ τοῦ κατὰ Βροῦτον βοή τε παρὰ τῶν
having-fled and the(-one) on-the-side-of Brutus shout both from the
πολεμίων ὀξεῖα ἠγέρθη καὶ τὰ σημεῖα ἑκατέρωθεν ἐπῆρτο,
enemies sharp was-raised and the standards on-each-side were-raised
καὶ ἔφοδος ἦν σοβαρά τε καὶ ἀπηνής. τοξευμάτων μὲν δὴ
and onset was haughty both and harsh of-arrows indeed indeed
καὶ λίθων ἢ ἀκοντισμάτων ὀλίγον αὐτοῖς ἐδέησε πολέμου
and of-stones or of-javelins little for-them was-needed of-war
νόμῳ, ἐπεὶ οὐδὲ τῇ ἄλλῃ τέχνῃ καὶ τάξει τῶν ἔργων
by-law since not-even the other art and order of-the deeds
ἐχρῶντο, ἀλλὰ γυμνοῖς τοῖς ξίφεσι συμπλεκόμενοι ἔκοπτόν
they-used but naked the swords closing they-cut

τε καὶ ἐκόπτοντο καὶ ἀλλήλους ἐξώθουν ἀπὸ τῆς τάξεως,
both and were-cut and one-another thrust from the rank
οἱ μὲν περὶ σωτηρίας μᾶλλον ἢ νίκης, οἱ δὲ περὶ
the(-ones) indeed about safety rather than victory the(-others) and about
νίκης καὶ παρηγορίας στρατηγοῦ βεβιασμένου. φόνος δὲ ἦν
victory and consolation of-the-general having-been-forced slaughter and was
καὶ στόνος πολύς, καὶ τὰ μὲν σώματα αὐτοῖς ὑπεξεφέρετο,
and groaning much and the indeed bodies for-them were-carried-off
ἕτεροι δὲ ἀντικαθίσταντο ἐκ τῶν ἐπιτεταγμένων. οἱ
others and replaced(-them) from the(-men) posted-behind the
στρατηγοὶ δὲ σφᾶς, περιθέοντες καὶ ὁρώμενοι πανταχοῦ,
generals and them riding-round and being-seen everywhere
ταῖς τε ὁρμαῖς ἀνέφερον καὶ παρεκάλουν πονοῦντας ἔτι
with-the both impulses raised(-them) and exhorted toiling still
προσπονῆσαι καὶ τοὺς κεκμηκότας ἐνήλλασσον, ὥστε ὁ
to-toil-more and the wearied relieved so-that the
θυμὸς αἰεὶ τοῖς ἐπὶ τοῦ μετώπου καινὸς ἦν. τέλος δὲ
spirit always for-the(-men) on the front fresh was finally and
οἱ τοῦ Καίσαρος, εἴτε διὰ δέος τοῦ λιμοῦ, εἴτε
the(-men) — of-Caesar whether because-of fear of-the famine or
δι' αὐτοῦ Καίσαρος εὐτυχίαν οὐ γὰρ ἐπίμεμπτοί γε
because-of himself of-Caesar good-fortune not for blameworthy at-least
ἦσαν οὐδὲ οἱ Βρούτειοι, τὴν φάλαγγα τῶν ἐχθρῶν ἐκίνουν,
were not-even the Brutians the phalanx of-the enemies moved
ὥσπερ τι μηχάνημα τῶν βαρυτάτων ἀνατρέποντες. οἱ
as-if some engine of-the heaviest overturning they
δ' ἀνεωθοῦντο μὲν ἐπὶ πόδας ἐς τὸ ὀπίσω βάδην ἔτι
and were-thrust-back indeed on feet to the back step-by-step still
καὶ μετὰ φρονήματος· ὡς δὲ αὐτοῖς καὶ ἡ σύνταξις ἤδη
and with spirit when and them also the formation already
παρελέλυτο, ὀξύτερον ὑπεχώρουν καί, τῶν ἐπιτεταγμένων
had-been-loosened more-quickly withdrew and of-the posted-behind

σφίσι δευτέρων καὶ τρίτων συνυποχωρούντων, μισγόμενοι
them second and third withdrawing-with(-them) mixing
πάντες ἀλλήλοις ἀκόσμως ἐθλίβοντο ὑπὸ σφῶν καὶ
all with-one-another in-disorder were-pressed by themselves and
τῶν πολεμίων ἀπαύστως αὐτοῖς ἐπικειμένων, ἕως ἔφευγον
the enemies ceaselessly them pressing until they-fled
ἤδη σαφῶς. καὶ οἱ τοῦ Καίσαρος τότε μάλιστα
already clearly and the(-men) — of-Caesar then most
τοῦ παρηγγελμένου σφίσιν ἐγκρατῶς ἐχόμενοι τὰς πύλας
the order to-them firmly holding the gates
προελάμβανον σφόδρα ἐπικινδύνως ἄνωθέν τε γὰρ
seized-first very dangerously from-above both for
ἐβάλλοντο καὶ ἐκ τοῦ μετώπου, μέχρι πολλοὺς ἐσδραμεῖν
they-were-pelted and from the front until many to-run-in
ἐκώλυσαν, οἳ διέφυγον ἐπί τε τὴν θάλασσαν καὶ ἐς τὰ
they-prevented who fled to both the sea and to the
ὄρη διὰ τοῦ ποταμοῦ τοῦ Ζυγάκτου.
mountains through the river — Zygactes
129 γενομένης δὲ τῆς τροπῆς τὸ λοιπὸν ἔργον οἱ στρατηγοὶ
having-happened and the rout the remaining work the generals
διῃροῦντο, Καῖσαρ μὲν αἱρεῖν τοὺς ἐκπίπτοντας ἐκ
divided Caesar indeed to-take the(-men) falling-out from
τοῦ στρατοπέδου καὶ αὐτὸ φυλάσσειν τὸ στρατόπεδον·
the camp and itself to-guard the camp
ὁ δὲ Ἀντώνιος πάντα ἦν καὶ πᾶσιν ἐνέπιπτε, τοῖς
— and Antony everything was and on-all fell the(-men)
τε φεύγουσι καὶ τοῖς ἔτι συνεστῶσι καὶ τοῖς ἄλλοις
both fleeing and the(-men) still standing-together and the other
στρατοπέδοις αὐτῶν, ὁρμῇ τε ὑπερηφάνῳ πάντα
camps of-them with-impulse both overbearing everything
ἐβιάζετο ὁμοῦ. καὶ περὶ τοῖς ἡγεμόσι δείσας, μὴ αὐτὸν
forced together and about the leaders having-feared lest him

διαφυγόντες αὖθις ἕτερον στρατὸν ἀγείρειαν, τοὺς ἱππέας
having-escaped again another army they-might-gather the horsemen
ἐξέπεμπεν ἐπὶ τὰς ὁδούς τε καὶ ἐκβολὰς τῆς μάχης,
sent-out to the roads both and exits of-the battle
αἱρεῖν τοὺς ἀποδιδράσκοντας· οἳ διελόμενοι τὸ ἔργον
to-take the(-men) running-away who having-divided the work
ἀνά τε τὸ ὄρος ἐφέροντο σὺν τῷ Θρᾳκίῳ Ῥάσκῳ, δι'
along both the mountain were-borne with the Thracian Rhascus for
ἐμπειρίαν ὁδῶν συναπεσταλμένῳ, καὶ τὰ χαρακώματα καὶ
experience of-roads sent-along and the palisades and
κρημνοὺς περιστάντες τοὺς ἐκφεύγοντας ἐκυνηγέτουν καὶ
cliffs surrounding the(-men) escaping hunted and
τοὺς ἐντὸς ἐφρούρουν. οἱ δὲ Βροῦτον αὐτὸν ἐδίωκον·
the(-men) inside guarded others and Brutus himself pursued
καὶ αὐτοὺς ἀσχέτως ἔχοντας τοῦ δρόμου Λουκίλιος ἰδὼν
and them unrestrainably having of-the running Lucilius having-seen
ὑπέστη καὶ ὡς Βροῦτος ὢν ἠξίου πρὸς Ἀντώνιον ἀντὶ τοῦ
stood and as Brutus being asked to Antony instead-of —
Καίσαρος ἀναχθῆναι· ᾧ δὴ καὶ μάλιστα εἶναι Βροῦτος
Caesar to-be-brought by-which indeed also most to-be Brutus
ἐνομίσθη, τὸν ἀδιάλλακτον ἐχθρὸν ἐκκλίνων. ἀγομένου δὲ
he-was-thought the irreconcilable enemy avoiding being-brought and
αὐτοῦ πυθόμενος ὁ Ἀντώνιος ἀπήντα σὺν ἐπιστάσει,
him having-learned — Antony went-to-meet(-him) with attention
τὴν τύχην ὁμοῦ καὶ τὸ ἀξίωμα τἀνδρὸς καὶ ἀρετὴν
the fortune together and the dignity of-the-man and virtue
ἐνθυμούμενος, ὅπως Βροῦτον ὑποδέξαιτο. πλησιάσαντι δ'
considering how Brutus he-should-receive having-approached and
ὁ Λουκίλιος ἐντυχὼν μάλα θρασέως εἶπε· "Βροῦτος μὲν
— Lucilius meeting(-him) very boldly said Brutus indeed
οὐχ ἑάλωκεν, οὐδὲ ἁλώσεταί ποτε πρὸς κακίας ἀρετή·
not has-been-taken nor will-be-taken ever by wickedness virtue

ἐγὼ δὲ τούσδε ἀπατήσας ὧδέ σοι πάρειμι". καὶ ὁ
I and these(-men) having-deceived thus to-you am-present and —
Ἀντώνιος τοὺς ἱππέας ἰδὼν αἰδουμένους παρηγόρει καί,
Antony the horsemen having-seen ashamed consoled(-them) and
"οὐ μείονά μοι τήνδε ἄγραν", εἶπεν, "ἀλλὰ ἀμείνονα
not lesser for-me this prey said(-he) but better
ἧς ἐνομίζετε ἐθηρεύσατε, ὅσῳ κρείττων ἐχθροῦ
than-what you-thought you-have-hunted by-as-much-as better than-an-enemy
φίλος". καὶ τὸν Λουκίλιον τότε μέν τινι τῶν φίλων ἔδωκε
a-friend and — Lucilius then indeed to-one of-the friends gave
θεραπεύειν, ὕστερον δὲ αὐτὸς ἔχων ἐχρῆτο ὡς πιστῷ.
to-look-after later and himself having(-him) used(-him) as faithful

XVII · THE DEATH OF BRUTUS

Brutus, finding his remaining legions unwilling to fight, has his friend Strato the Epirote kill him. Appian judges Cassius and Brutus the noblest of Romans, honored by Caesar and the senate, but guilty of one crime, the murder of their friend and benefactor, which the divine power resented and foretold by many signs. Antony honors Brutus' body; his army surrenders, some of his officers kill themselves, and Porcia swallows coals. The victory decides Rome's government, and the republic never returns.

130 ὁ δὲ Βροῦτος ἀναφεύγει μὲν ἐς τὰ ὄρη σὺν ἱκανῷ
— and Brutus flees-up indeed into the mountains with sufficient
πλήθει, ὡς νυκτὸς ἐς τὸ στρατόπεδον ὑποστρέψων ἢ
number as by-night into the camp going-to-return or
καταβησόμενος ἐπὶ τὴν θάλασσαν· ἐπεὶ δὲ περιείληπτο
going-to-come-down to the sea since and had-been-surrounded
πάντα φυλακαῖς, διενυκτέρευεν ἔνοπλος μετὰ πάντων. καί
all with-guards spent-the-night armed with all and

φασιν αὐτὸν ἐς τοὺς ἀστέρας ἀναβλέποντα εἰπεῖν· "Ζεῦ,
they-say him to the stars looking-up to-say Zeus
μὴ λάθοι σε τῶνδ' ὃς αἴτιος κακῶν", ἐνσημαινόμενον
not may-he-escape you of-these who cause of-evils hinting
ἄρα τὸν Ἀντώνιον. ὃ καὶ αὐτὸν Ἀντώνιόν φασιν
then — at-Antony which also himself Antony they-say
ὕστερον ἐν τοῖς ἰδίοις κινδύνοις μεταγινώσκοντα εἰπεῖν,
later in the own dangers repenting to-have-said
ὅτι συνεξετάζεσθαι Κασσίῳ καὶ Βρούτῳ δυνάμενος
that to-be-ranked-with Cassius and Brutus being-able
ὑπηρέτης γένοιτο Ὀκταουίου. τότε γε μὴν καὶ ὁ
servant he-became of-Octavius then at-least indeed also —
Ἀντώνιος ἔνοπλος ἐπὶ τῶν φυλακτηρίων ἀντιδιενυκτέρευε
Antony armed on the guard-posts spent-the-night-opposite
τῷ Βρούτῳ, χάρακα περιθέμενος ἐκ νεκρῶν σωμάτων
— to-Brutus a-palisade having-set-round from dead bodies
καὶ λαφύρων συμφορηθέντων. ὁ δὲ Καῖσαρ ἐς μέσην
and spoils heaped-together — and Caesar to middle
νύκτα πονηθεὶς ἀνεχώρησε διὰ τὴν νόσον, Νωρβανῷ
night having-toiled withdrew because-of the sickness to-Norbanus
φυλάσσειν παραδοὺς τὸ στρατόπεδον.
to-guard having-handed-over the camp
Βροῦτος δὲ καὶ τῆς ἐπιούσης ὁρῶν τὰς ἐφεδρείας 131
Brutus and also on-the following(-day) seeing the reserves
τῶν ἐχθρῶν ἐπιμενούσας, ἔχων οὐ πλήρη τέσσαρα
of-the enemies remaining having not full four
τέλη συναναβάντα οἱ, αὐτὸς μὲν ἐπελθεῖν ἐπ' αὐτοὺς
legions having-gone-up-with him himself indeed to-attack against them
ἐφυλάξατο, τοὺς δὲ ἡγουμένους αὐτῶν, αἰδουμένους τε
avoided the but leading them being-ashamed-of both
τὸ ἁμάρτημα καὶ μετανοοῦντας, ἔπεμπεν ἀποπειράσοντας
the error and repenting he-sent going-to-sound

αὐτῶν, εἰ ἐθελήσουσιν ὥσασθαι διὰ τῶν ἐφεδρειῶν καὶ
them if they-will-be-willing to-force(-a-way) through the reserves and
ἀναλαβεῖν τὰ ἴδια, ἔτι φυλασσόμενα ὑπὸ τῶν οἰκείων
to-recover the own(-camp) still guarded by the own(-men)
ὑπολελειμμένων. οἱ δὲ ἀβουλότατα μὲν ἐς τὸ ἔργον
left-behind they and most-ill-advisedly indeed into the work
ὁρμήσαντες, εὐψυχότατοι δὲ τὸ μέχρι πλείστου γενόμενοι,
having-rushed most-courageous and the to most having-been
τότε, βλάπτοντος ἤδη τοῦ θεοῦ, τῷ στρατηγῷ σφῶν
then harming already the god to-the general their
ἀπεκρίναντο ἀναξίως βουλεύεσθαι περὶ αὑτοῦ· αὐτοὶ γάρ,
answered unworthily to-plan about himself themselves for
τῆς τύχης πολλάκις πεπειραμένοι, οὐκ ἀνατρέψειν τὴν
of-the fortune often having-made-trial not to-be-going-to-overturn the
ἔτι λοιπὴν διαλλαγῶν ἐλπίδα. καὶ ὁ Βροῦτος ἐς τοὺς φίλους
still remaining of-reconciliation hope and — Brutus to the friends
εἰπών· "οὐδὲν οὖν ἔτι εἰμὶ τῇ πατρίδι χρήσιμος, ὧδε καὶ
having-said nothing then still am-I to-the fatherland useful thus also
τούτων ἐχόντων", ἐκάλει Στράτωνα τὸν Ἠπειρώτην, ὄντα
these being-disposed called Strato the Epirote being
φίλον ἑαυτῷ, καὶ ἐγχειρεῖν ἐκέλευε τῷ σώματι. τούτου δὲ
friend to-himself and to-put-hand-to bade the body this(-man) and
ἔτι βουλεύεσθαι παραινοῦντος ἐκάλει τινὰ τῶν οἰκετῶν.
still to-deliberate advising he-called one of-the household-slaves
καὶ ὁ Στράτων, "οὐκ ἀπορήσεις", εἶπεν, "ὦ Βροῦτε,
and — Strato not you-will-lack said(-he) O Brutus
φίλου μᾶλλον ἢ οἰκετῶν ἐς τὰ ὕστατα προστάγματα,
a-friend rather than household-slaves for the last orders
εἰ ἤδη κέκριται". καὶ εἰπὼν ἐνήρεισε ταῖς λαγόσι
if already it-has-been-decided and having-said thrust into-the flank
τοῦ Βρούτου τὸ ξίφος οὔτε ἀποστραφέντος οὔτε ἐνδόντος.
— of-Brutus the sword neither turning-away nor flinching

ὧδε μὲν δὴ Κάσσιος καὶ Βροῦτος ἐθνῃσκέτην, ἄνδρε 132
thus indeed indeed Cassius and Brutus died two-men
Ῥωμαίων εὐγενεστάτω τε καὶ περιφανεστάτω καὶ ἐς ἀρετὴν
of-Romans most-noble both and most-illustrious and for virtue
ἀδηρίτω, χωρὶς ἄγους ἑνός, ὥ γε καὶ Γάιος Καῖσαρ,
unrivaled without pollution one whom at-least even Gaius Caesar
ὄντε τῆς Μάγνου Πομπηίου μοίρας, ἐκ μὲν ἐχθροῖν καὶ
being of-the of-Magnus Pompey party from indeed enemies and
πολεμίοιν ἐποιήσατο φίλω, ἐκ δὲ φίλοιν ἦγεν ὡς υἱώ. καὶ
foes made friends from and friends he-treated as sons and
ἡ βουλὴ περιποθήτω τε εἶχεν αἰεὶ καὶ ἀτυχήσαντε
the senate longed-for both had(-them) always and having-been-unfortunate
ἐλεεινὼ δυοῖν τε τούτοιν ἕνεκα πᾶσιν ἀμνηστίαν ἐτίθετο
pitiable for-two both these for-the-sake to-all amnesty set
καὶ φυγόντοιν αὐτοῖν ἔπεμψεν ἡγεμονίας, ἵνα μὴ φυγάδες
and having-fled them sent commands so-that not exiles
εἶεν, οὐκ ἀμελοῦσα μὲν Γαΐου Καίσαρος οὐδὲ ἐφηδομένη
they-might-be not neglecting indeed Gaius Caesar nor rejoicing
τοῖς γεγονόσιν, ὅπου καὶ ζῶντα τῆς ἀρετῆς καὶ τύχης
at-the(-things) having-happened where also living for-the virtue and fortune
ἐθαύμαζε καὶ ἀποθανόντα ἔθαπτε δημοσίᾳ καὶ ἐκύρου
it-admired(-him) and having-died buried publicly and ratified
τὰ ἔργα ἀθάνατα εἶναι ἀρχάς τε καὶ ἡγεμονίας ἐς πολὺ
the acts immortal to-be offices both and commands for long
ἐκ τῶν ὑπογραφῶν ἐποίει τῶν Καίσαρος, οὐδὲν ἡγουμένη
from the memoranda made the of-Caesar nothing thinking
κρεῖσσον εὑρήσειν ὧν ἐκεῖνος ἐνόησεν. ἀλλ' ἡ περὶ
better to-be-going-to-find than-what he planned but the for
τώδε τὼ ἄνδρε σπουδὴ καὶ δέος τὸ ὑπὲρ αὐτοῖν προήγαγεν
these the two-men zeal and fear the for them led-on
αὐτὴν ἐς ὑπεροψίαν διαβολῆς· οὕτως ἅπασιν ἐγενέσθην
it to disregard of-slander so to-all they-were

τιμίω. ἐγενέσθην δὲ καὶ τῶν φυγόντων τοῖς ἀρίστοις
honored they-were and also of-the exiles to-the best
τιμιωτέρω Πομπηίου, πλησιάζοντος καὶ οὐκ ἀδιάλλακτον
more-honored than-Pompey being-near and not irreconcilable
ἔχοντος αἰτίαν, πορρωτέρω τε ὄντε αὐτὼ καὶ ἀδιαλλάκτω.
having cause farther both being they and irreconcilable
133 ἐπεί γε μὴν ἔργων ἐδέησε, δυοῖν οὐδὲ ὅλοιν ἐτοῖν
since at-least indeed of-deeds there-was-need in-two not-even whole years
στρατιάν τε συνέλεξαν ὑπὲρ εἴκοσιν ὁπλιτῶν τέλη καὶ
army both they-collected over twenty of-heavy-infantry legions and
ἱππέας ἀμφὶ τοὺς δισμυρίους καὶ ναῦς μακρὰς ὑπὲρ τὰς
horsemen about the twenty-thousand and ships long over the
διακοσίας τήν τε ἄλλην παρασκευὴν ἀξιόλογον καὶ χρήματα
two-hundred the both other equipment notable and money
ἄπειρα καὶ παρ᾽ ἑκόντων καὶ παρὰ ἀκόντων, πολέμους τε
boundless both from willing(-men) and from unwilling(-men) wars both
ἐπολέμησαν ἔθνεσι καὶ πόλεσι καὶ τῶν ἀντιστασιωτῶν
they-waged against-nations and cities and of-the opponents
πολλοῖς καὶ κατώρθουν. ἐθνῶν τε ἐκράτησαν ἀπὸ
many and succeeded nations both they-mastered from
Μακεδονίας μέχρι Εὐφράτου· καὶ ὅσους ἐπολέμησαν, ἐς
Macedonia to Euphrates and as-many-as they-warred-on to
συμμαχίαν αὑτοῖς ἔπεισαν καὶ βεβαιοτάτοις ἐχρήσαντο.
alliance with-them they-persuaded and most-firm used(-them)
ἐχρήσαντο δὲ καὶ βασιλεῦσι καὶ δυνάσταις, καὶ Παρθυαίοις
they-used and also kings and princes and Parthians
καίπερ οὖσιν ἐχθροῖς ἐς τὰ βραχύτερα· ἐπὶ δὲ τὸ μεῖζον
though being enemies for the lesser(-matters) for but the greater
ἔργον οὐκ ἀνέμειναν ἐρχομένους, ἵνα μὴ βάρβαρον
work not they-waited-for(-them) coming so-that not a-barbarian
ἢ ἀντίπαλον ἔθνος ἐθίσειαν ἐπὶ Ῥωμαίοις. ὃ δὲ
or hostile nation they-might-accustom against Romans what and

δὴ μάλιστα πάντων ἀδοκητότατον ἦν, ὁ στρατὸς ὁ
indeed most of-all most-unexpected was the army the
πλείων ὅδε Γαΐου Καίσαρος ἐγεγένητο, καὶ δαιμονίως
greater(-part) this of-Gaius Caesar had-been and wondrously
αὐτὸν εὐνοίας καὶ σπουδῆς ἔχοντα ἐς ἐκεῖνον μετέπεισαν
him of-goodwill and of-zeal having toward that(-man) won-over
οἱ σφαγεῖς οἵδε τοῦ Καίσαρος, καὶ ἐπὶ τὸν τοῦ Καίσαρος
the slayers these — of-Caesar and against the — of-Caesar
υἱὸν ἕσποντο αὐτοῖς πιστότερον ἢ Ἀντωνίῳ τῷ Καίσαρος
son followed them more-faithfully than Antony the of-Caesar
συναγωνιστῇ τε καὶ συνάρχῳ· οὐ γάρ τις αὐτῶν Βροῦτον
fellow-combatant both and colleague not for anyone of-them Brutus
ἢ Κάσσιον οὐδὲ ἡσσωμένους ἀπέλιπεν, οἱ Ἀντώνιον
or Cassius not-even defeated deserted who Antony
ἀμφὶ τὸ Βρεντέσιον καὶ πρὸ πείρας ἀπολιπόντες· ἦν
about — Brundisium even before trial having-deserted there-was
τε πρόφασις αὐτοῖς τῶν πόνων, καὶ ἐπὶ Πομπηίου καὶ
both pretext to-them of-the toils both under Pompey and
νῦν, οὐχ ὑπὲρ σφῶν αὐτῶν, ἀλλ᾽ ὑπὲρ δημοκρατίας,
now not on-behalf-of them- -selves but on-behalf-of democracy
ὀνόματος εὐειδοῦς μέν, ἀλυσιτελοῦς δὲ αἰεί. σφῶν τε
name fair-seeming indeed unprofitable but always them- both
αὐτῶν, ὅτε μηδὲν ἐδόκουν ἔτι εἶναι χρήσιμοι τῇ πατρίδι,
-selves when nothing they-seemed still to-be useful to-the fatherland
ἄμφω κατεφρόνησαν ὁμοίως. ἐν δὲ ταῖς φροντίσι καὶ
both despised alike in and the cares and
πόνοις ὁ μὲν Κάσσιος ἀμεταστρεπτί, καθάπερ ἐς τὸν
toils — indeed Cassius without-turning-aside as at the
ἀγωνιστὴν οἱ μονομαχοῦντες, ἐς μόνον τὸν πόλεμον
opponent the gladiators to only the war

ἀφεώρα· ὁ δὲ Βροῦτος, ὅπῃ γίγνοιτο, καὶ φιλοθεάμων
looked — and Brutus wherever he-might-be both sight-loving
ἦν καὶ φιλήκοος, ἅτε καὶ φιλοσοφήσας οὐκ ἀγεννῶς.
was and fond-of-hearing as also having-philosophized not ignobly
134 ἀλλὰ καὶ τοιοῖσδε οὖσιν αὐτοῖς ἀντίθετον ἐς ἅπαντα ἦν τὸ
but even to-such being them opposed in everything was the
ἄγος τὸ ἐς Καίσαρα. ὅ γε οὐδὲ ἁπλοῦν ἄγος ἦν
pollution the against Caesar which at-least not simple pollution was
οὐδὲ ἐν ὀλίγῳ· καὶ γὰρ ἐς φίλον ἐγίγνετο παραλόγως
nor in small(-measure) both for against a-friend it-happened unexpectedly
καὶ ἐς εὐεργέτην ἐκ πολέμου περισώσαντα ἀχαρίστως
and against a-benefactor from war having-saved(-them) ungratefully
καὶ ἐς αὐτοκράτορα ἀθεμίστως καὶ ἐν βουλευτηρίῳ καὶ
and against an-imperator lawlessly and in a-senate-house and
ἐς ἱερέα καὶ ἱερὰν ἐσθῆτα ἐπικείμενον καὶ δυνάστην
against a-priest and sacred robe wearing and a-ruler
μὲν οἷον οὐχ ἕτερον, χρησιμώτατον δὲ ὑπὲρ ἅπαντας
indeed such-as not another most-useful and beyond all
τῇ τε πατρίδι καὶ τῇ ἡγεμονίᾳ γενόμενον. ἃ καὶ τὸ
to-the both fatherland and to-the empire having-been which also the
δαιμόνιον αὐτοῖς ἄρα ἐνεμέσησε καὶ προεσήμηνε πολλάκις.
divine-power on-them then resented and foreshowed often
Κασσίῳ τε γὰρ τὸν στρατὸν καθαίροντι ὁ ῥαβδοῦχος
to-Cassius both for the army purifying the lictor
ἀνεστραμμένον τὸν στέφανον ἐπέθηκε· καὶ Νίκη, χρύσεον
turned-upside-down the wreath put-on and a-Victory golden
ἀνάθημα Κασσίου, κατέπεσεν, ὄρνεά τε πολλὰ ὑπὲρ τὸ
offering of-Cassius fell-down birds both many over the
στρατόπεδον αὐτοῦ καθιέμενα κλαγγὴν οὐδεμίαν ἠφίει,
camp of-him alighting cry none uttered
καὶ μελισσῶν ἐπεκάθηντο συνεχεῖς ἑσμοί. Βροῦτον δὲ ἐν
and of-bees settled continual swarms Brutus and in

Σάμῳ γενεθλιάζοντά φασι παρὰ τὸν πότον, οὐδὲ εὐχερῆ
Samos celebrating-his-birthday they-say at the drinking not-even easy-going
πρὸς τὰ τοιαῦτα ὄντα, ἀλόγως τόδε τὸ ἔπος ἀναβοῆσαι·
about the such(-things) being unaccountably this the verse to-have-shouted
"ἀλλά με μοῖρ' ὀλοὴ καὶ Λητοῦς ἔκτανεν υἱός". μέλλοντα
but me fate deadly and of-Leto has-killed son being-about
δὲ περᾶν ἐκ τῆς Ἀσίας ἐς τὴν Εὐρώπην σὺν τῷ στρατῷ,
and to-cross from — Asia to — Europe with the army
νυκτὸς ἐγρηγορότα, μαραινομένου τοῦ φωτὸς ὄψιν ἰδεῖν
by-night being-awake waning the light a-vision to-see
ἐφεστῶσάν οἱ παράλογον καὶ πυθέσθαι μὲν εὐθαρσῶς,
standing-over him extraordinary and to-ask indeed boldly
ὅς τις ἀνθρώπων ἢ θεῶν εἴη, τὸ δὲ φάσμα εἰπεῖν·
who (ever) of-men or of-gods it-might-be the and apparition to-say
"ὁ σός, ὦ Βροῦτε, δαίμων κακός· ὀφθήσομαί δέ σοι
the your O Brutus spirit evil I-shall-be-seen and by-you
καὶ ἐν Φιλίπποις". καὶ ὀφθῆναί φασιν αὐτῷ πρὸ τῆς
also at Philippi and to-have-been-seen they-say to-him before the
τελευταίας μάχης. ἐξιόντι δὲ τῷ στρατῷ πρὸ τῶν πυλῶν
last battle going-out and to-the army before the gates
αἰθίοψ ὑπήντησε· καὶ τόνδε μὲν ὡς οἰώνισμα φαῦλον ὁ
an-Ethiopian met(-them) and him indeed as omen bad the
στρατὸς αὐτίκα συνέκοψε, δαιμόνια δ' ἦν αὐτοῖς ἄρα καὶ
army at-once cut-down divine and were for-them then also
τάδε, Κάσσιον μὲν ἐν ἀμφηρίστῳ νίκῃ πάντα ἀλόγως
these-things Cassius indeed in doubtful victory everything irrationally
ἀπογνῶναι, Βροῦτον δὲ εὐβούλου βραδυτῆτος ἐκβιασθῆναι
to-despair Brutus and from-prudent slowness to-be-forced
καὶ ἐς χεῖρας ἐλθεῖν ἀνδράσι διωκομένοις ὑπὸ λιμοῦ,
and to hands to-come with-men pursued by famine
δαψιλῶς αὐτὸν ἔχοντα ἀγορᾶς καὶ ναυκρατοῦντα, καὶ
abundantly himself having provisions and commanding-the-sea and

τόδε παθεῖν ὑπὸ τῶν οἰκείων μᾶλλον ἢ τῶν πολεμίων,
this to-suffer by the kinsmen rather than the enemies
καὶ μὴν πολλάκις ἀγώνων μετασχόντες ἐν μὲν ταῖς
and indeed often of-contests having-partaken in indeed the
μάχαις οὐδὲν ἔπαθον, ἄμφω δ' αὑτῶν ἐγένοντο αὐθένται
battles nothing suffered both and of-themselves became slayers
καθάπερ ἐγένοντο τοῦ Καίσαρος. Κάσσιος μὲν δὴ καὶ
as they-became — of-Caesar Cassius indeed indeed and
Βροῦτος τοιάνδε δίκην ἐδεδώκεσαν.
Brutus such penalty had-paid
καὶ Βροῦτον Ἀντώνιος ἀνευρὼν περιέβαλέ τε τῇ ἀρίστῃ
and Brutus Antony having-found wrapped both in-the best
φοινικίδι εὐθὺς καὶ καύσας τὰ λείψανα τῇ μητρὶ
purple-cloak at-once and having-burned the remains to-the mother
Σερουιλίᾳ ἔπεμψεν. ὁ δὲ σὺν τῷ Βρούτῳ στρατός, ὅτε
Servilia sent the and with — Brutus army when
ἐπύθοντο τεθνάναι Βροῦτον, πρέσβεις ἐς Καίσαρα καὶ
they-learned to-be-dead Brutus envoys to Caesar and
Ἀντώνιον ἔπεμπον καὶ συγγνώμης ἔτυχον καὶ ἐς τὰ
Antony sent and pardon obtained and into the
στρατεύματα αὐτῶν διῃρέθησαν· καὶ ἦσαν ἀμφὶ τοὺς
armies of-them were-divided and were about the
μυρίους καὶ τετρακισχιλίους. παρέδοσαν δὲ ἐπὶ τοῖς
ten-thousand and four-thousand surrendered and on the
αὐτοῖς ἑαυτοὺς καὶ οἱ κατὰ τὰ φρούρια, πολλὰ ὄντα.
same(-terms) themselves also the(-men) in the forts many being
τὰ δὲ φρούρια αὐτὰ καὶ τὸ στρατόπεδον ἐδόθη τοῖς
the and forts themselves and the camp was-given to-the
Καίσαρος καὶ Ἀντωνίου στρατοῖς διαρπάσαι. τῶν δ' ἀμφὶ
of-Caesar and of-Antony armies to-plunder of-the and around
τὸν Βροῦτον ἀνδρῶν ἐπιφανῶν οἱ μὲν ἐν ταῖς μάχαις
— Brutus men notable some indeed in the battles

ἀπέθανον, οἱ δὲ αὐτοὺς ἐξήγαγον ὁμοίως τοῖς στρατηγοῖς,
died others and themselves led-out(-of-life) like the generals
οἱ δὲ καὶ ἐξεπίτηδες ἐμαχέσαντο μέχρι θανάτου· ὧν
others and even on-purpose fought until death of-whom
ἦν Λεύκιός τε Κάσσιος, ὁ ἀδελφιδοῦς αὐτοῦ Κασσίου, καὶ
was Lucius both Cassius the nephew himself of-Cassius and
Κάτων ὁ Κάτωνος, ἐμπίπτων ὅδε τοῖς πολεμίοις
Cato the(-son) of-Cato falling this(-man) on-the enemies
πολλάκις, εἶθ' ὑποχωρούντων ἀναλύσας τὸ κράνος, ἵνα
often then withdrawing having-loosed the helmet so-that
ἢ γνώριμος ἢ εὔβλητος ἢ ἀμφότερα εἴη. Λαβεὼν
either recognizable or easy-to-hit or both he-might-be Labeo
δέ, ἐπὶ σοφίᾳ γνώριμος, ὁ πατὴρ Λαβεῶνος τοῦ κατ'
and for wisdom known the father of-Labeo the(-one) for
ἐμπειρίαν νόμων ἔτι νῦν περιωνύμου, βόθρον ἐν τῇ σκηνῇ
experience of-laws still now renowned a-pit in the tent
τὸ μέγεθος αὐτάρκη σώματι ὀρυξάμενος καὶ τὰ λοιπὰ τοῖς
the size sufficient for-a-body having-dug and the rest to-the
θεράπουσιν ἐντειλάμενος ἐπέσκηψε τῇ γυναικὶ καὶ τοῖς
servants having-enjoined charged the wife and the
παισί, περὶ ὧν ἐβούλετο, καὶ τὰ γράμματα φέρειν ἔδωκε
children about what he-wished and the letters to-carry gave
τοῖς οἰκέταις· τοῦ δὲ πιστοτάτου τῆς δεξιᾶς λαβόμενος
to-the household-slaves of-the and most-faithful the right-hand having-taken
καὶ περιστρέψας αὐτόν, ὡς ἔθος ἐστὶ Ῥωμαίοις ἐλευθεροῦν,
and having-turned him as custom is for-Romans to-free
ἐπιστρεφομένῳ ξίφος ἔδωκε καὶ τὴν σφαγὴν ὑπέσχε.
to-(him)-turning a-sword gave and the throat offered
καὶ τῷδε μὲν ἡ σκηνὴ τάφος ἐγένετο, Ῥάσκος δὲ ὁ 136
and for-this(-man) indeed the tent tomb became Rhascus and the
Θρᾷξ ἐπανήγαγεν ἐκ τῶν ὀρῶν πολλούς, καὶ γέρας ᾔτησέ
Thracian brought-back from the mountains many and as-reward asked

τε καὶ ἔλαβε σῴζεσθαι τὸν ἀδελφὸν ἑαυτοῦ Ῥασκούπολιν·
both and received to-be-saved the brother of-himself Rhascupolis
ᾧ καὶ διεδείχθη, ὅτι οὐδ' ἀπ' ἀρχῆς ἀλλήλοις οἵδε οἱ
by-which also was-shown that not-even from beginning with-one-another these the
Θρᾷκες διεφέροντο, ἀλλὰ δύο στρατοπέδων μεγάλων τε καὶ
Thracians differed but two armies great both and
ἀμφηρίστων περὶ τὴν ἐκείνων γῆν συμφερομένων τὸ ἄδηλον
evenly-matched about the their land engaging the uncertainty
τῆς τύχης ἐμερίσαντο, ἵνα ὁ νικῶν περισῴζοι τὸν
of-the fortune they-divided so-that the(-one) conquering might-save the(-one)
ἡσσώμενον. Πορκία δ', ἡ Βρούτου μὲν γυνή, Κάτωνος
being-defeated Porcia and the of-Brutus indeed wife of-Cato
δὲ ἀδελφὴ τοῦ νεωτέρου, ἐπείτε ἀμφοῖν ὧδε ἀποθανόντοιν
and sister the younger when of-both thus having-died
ἐπύθετο, φυλασσομένη πρὸς τῶν οἰκείων πάνυ ἐγκρατῶς,
she-learned being-guarded by the household very strictly
ἐσχάρας πυρὸς ἐνεχθείσης ἁρπάσασα τῶν ἀνθράκων
a-brazier of-fire having-been-brought having-snatched of-the coals
κατέπιεν. ὅσοι δ' ἄλλοι τῶν ἐπιφανῶν ἐς Θάσον
swallowed(-them) as-many-as and other of-the notables to Thasos
διέφυγον, οἱ μὲν αὐτῶν ἐξέπλευσαν, οἱ δὲ ἐπέτρεψαν
escaped some indeed of-them sailed-away others and entrusted
ἑαυτοὺς ἅμα τῷ λοιπῷ στρατῷ τῶν ὁμοτίμων Μεσσάλᾳ
themselves together-with the remaining army of-the peers to-Messala
τε Κορουίνῳ καὶ Λευκίῳ Βύβλῳ, ὅ τι βουλεύσοιντο
both Corvinus and to-Lucius Bibulus what (thing) they-should-decide
περὶ σφῶν, ποιεῖν περὶ ἁπάντων. οἱ δὲ συνθέμενοι
about them to-do about all they and having-agreed
τοῖς περὶ τὸν Ἀντώνιον, Ἀντωνίῳ διαπλεύσαντι ἐς
with-the(-men) around — Antony to-Antony having-crossed to

τὴν Θάσον παρέδοσαν, ὅσα ἦν ἐν Θάσῳ χρήματά τε
— *Thasos handed-over as-much-as was in Thasos money both*
καὶ ὅπλα καὶ τροφαὶ δαψιλεῖς καὶ ἄλλη παρασκευὴ πολλή.
and arms and provisions abundant and other equipment much
οὕτω μὲν δὴ Καίσαρί τε καὶ Ἀντωνίῳ διὰ τόλμης 137
thus indeed indeed for-Caesar both and Antony through daring
ἐπισφαλοῦς καὶ δυοῖν πεζομαχίαιν τηλικοῦτον ἔργον
hazardous and two infantry-battles so-great a-deed
ἤνυστο, οἷον οὐχ ἕτερον ἐγένετο πρὸ ἐκείνου. οὔτε
had-been-accomplished such-as not another happened before that neither
γὰρ στρατὸς τοσοῦτος ἢ τοιοῦτος ἐς χεῖρας πρότερον
for army so-great or such to hands earlier
ἦλθε Ῥωμαίων ἑκατέρωθεν, οὐχ ὑπὸ συντάξει πολιτικῇ
came of-Romans on-both-sides not under levy civil
στρατευσαμένων, ἀλλὰ ἀριστίνδην ἐπειλεγμένων οὐδ᾽
having-served but by-merit selected nor
ἀπειροπολέμων ἔτι, ἀλλ᾽ ἐκ πολλοῦ γεγυμνασμένων ἐπί
inexperienced-in-war still but from long trained against
τε σφᾶς καὶ οὐκ ἀλλόφυλα ἢ βάρβαρα ἔθνη τρεπομένων.
both themselves and not foreign or barbarian nations turning
ἀλλὰ καὶ γλώσσης μιᾶς ὄντες καὶ τέχνης πολέμων μιᾶς
but also of-language one being and of-art of-wars one
καὶ ἀσκήσεως καὶ καρτερίας ὁμοίας, δυσκαταγώνιστοι παρ᾽
and of-training and of-endurance like hard-to-overcome by
αὐτὸ ἦσαν ἀλλήλοις. οὐδὲ ὁρμῇ καὶ τόλμῃ τοσῇδέ
this-very were to-one-another nor with-impulse and daring so-great
τινες ἐχρήσαντο ἐν πολέμῳ, πολῖταί τε ὄντες ἀλλήλων
any used in war citizens both being of-one-another
καὶ οἰκεῖοι καὶ συστρατιῶται γενόμενοι. τεκμήριον δέ, ὅτι
and kinsmen and fellow-soldiers having-been proof and that

τῶν νεκρῶν ὁ ἀριθμός, ἐπανισουμένης ἑκατέρας μάχης,
of-the dead the number being-made-equal of-each battle
οὐκ ἐλάσσων ἔδοξεν οὐδὲ παρὰ τοῖς νικῶσιν εἶναι.
not less seemed not-even among the conquerors to-be
138 ὁ δὲ στρατὸς ὁ Ἀντωνίου καὶ Καίσαρος τὸν τῶν
the and army the(-army) of-Antony and Caesar the of-the
στρατηγῶν λόγον ἐπηλήθευσαν, διὰ μιᾶς ἡμέρας καὶ δι᾽
generals word made-true through one day and through
ἑνὸς ἔργου κίνδυνον ἔσχατον λιμοῦ καὶ δέος ἀπωλείας
one deed danger utmost of-famine and fear of-destruction
ἐς εὐπορίαν δαψιλῆ καὶ σωτηρίαν ἀσφαλῆ καὶ νίκην
into plenty abundant and safety secure and victory
εὐκλεῆ μεταβαλόντες. ἀπήντησέ γε μὴν αὐτοῖς καὶ ὃ
glorious having-changed came-to-pass at-least indeed for-them also what
συνιόντες ἐς τὴν μάχην ἐπεμαντεύσαντο Ῥωμαίοις· ἐκρίθη
coming-together for the battle they-divined for-Romans was-decided
γὰρ αὐτῶν ἡ πολιτεία παρ᾽ ἐκεῖνο τὸ ἔργον μάλιστα καὶ
for of-them the government at that the deed most and
οὐκ ἐπανῆλθεν ἐς δημοκρατίαν ἔτι, οὐδὲ πόνων αὐτοῖς
not returned to democracy any-longer nor of-toils for-them
ἐς ἀλλήλους ἐδέησεν ὁμοίων, χωρίς γε τῆς μετ᾽ οὐ
against one-another was-there-need like apart at-least from-the after not
πολὺ Ἀντωνίου καὶ Καίσαρος στάσεως, ὑστάτης Ῥωμαίοις
long of-Antony and Caesar faction last for-Romans
γενομένης. τὰ δ᾽ ἐν μέσῳ μετὰ Βροῦτον ὑπό τε
having-been the(-things) and in middle after Brutus by both
Πομπηίου καὶ τῶν διαφυγόντων Κασσίου καὶ Βρούτου
Pompey and the escaped of-Cassius and of-Brutus
φίλων, λείψανα τοσῆσδε παρασκευῆς μεγάλα ἐχόντων,
friends remnants of-so-great preparation great having
οὔτε ταῖς τόλμαις ὅμοια ἔτι ἐγίγνετο οὔτε ταῖς τῶν
neither to-the daring like any-longer happened nor to-the of-the

ἀνδρῶν ἢ πόλεων ἢ στρατῶν ἐς τοὺς ἡγεμόνας ὁρμαῖς·
men or cities or armies toward the leaders impulses
οὐ γάρ τις αὐτοῖς τῶν ἐπιφανῶν ἔτι οὐδ᾽ ἡ βουλὴ οὐδὲ
not for anyone to-them of-the notables still nor the senate nor
ἡ δόξα αὕτη, ὡς ἐς Κάσσιόν τε καὶ Βροῦτον, ἀπήντα.
the glory this as toward Cassius both and Brutus came